# Eulogikon

Ancient Greek Texts — Free & Open source

eul_wid: txi-aa

*Ἀφθόνιος Ἀντιοχεὺς ὁ Σύρος* · Aphthonius of Antioch

# Preliminary Exercises

## *Προγυμνάσματα*

**Period:** *Ὀψιμαρχαία* Late Antique
**Dialect:** *Ἀττικίζουσα τεχνική* Atticizing Technical
**Domain:** *Ῥητορική* Oratory
**Format:** *Λόγος* Oration
**Affiliation:** Sophist

10.1.(1t) ΑΦΘΟΝΙΟΥ ΣΟΦΙΣΤΟΥ ΠΡΟΓΥΜΝΑΣΜΑΤΑ Ι. 〈ΠΕΡΙ ΜΥΘΟΥ.〉 Ὁ μῦθος ποιητῶν μὲν προῆλθε, γεγένηται δὲ καὶ ῥητόρων κοινὸς ἐκ παραινέσεως. Ἔστι δὲ μῦθος λόγος ψευδὴς εἰκονίζων ἀλήθειαν. Καλεῖται δὲ Συβαριτικὸς καὶ Κίλιξ καὶ Κύπριος, πρὸς τοὺς εὑρόντας αὐτὸν μεταθεὶς τὰ ὀνόματα· νικᾷ δὲ μᾶλλον Αἰσώπειος λέγεσθαι τῷ τὸν Αἴσωπον ἄριστα πάντων συγγράψαι τοὺς μύθους. Τοῦ δὲ μύθου τὸ μέν ἐστι λογικόν, τὸ δὲ ἠθικόν, τὸ δὲ μικτόν· καὶ λογικὸν μέν, ἐν ᾧ τι ποιῶν ἄνθρωπος πέπλασται, ἠθικὸν δὲ τὸ τῶν ἀλόγων ἦθος ἀπομιμούμενον, μικτὸν δὲ τὸ ἐξ ἀμφοτέρων, ἀλόγου καὶ λογικοῦ. Τὴν δὲ παραίνεσιν, δι’ ἣν ὁ μῦθος τέτακται, προτάττων μὲν ὀνομάσεις προμύθιον, ἐπιμύθιον δὲ τελευταῖον ἐπενεγκών.

10.2 Ἠθικὸς μῦθος ὁ τῶν τεττίγων καὶ τῶν μυρμήκων προτρέπων τοὺς νέους εἰς πόνους. Θέρους ἦν ἀκμὴ καὶ οἱ μὲν τέττιγες μουσικὴν ἀνεβάλλοντο σύντονον, τοῖς μύρμηξι δὲ πονεῖν ἐπῄει καὶ συλλέγειν καρπούς, ἐξ ὧν ἔμελλον τοῦ χειμῶνος τραφήσεσθαι. χειμῶνος δὲ ἐπιγεγονότος μύρμηκες μὲν οἷς ἐπόνουν ἐτρέφοντο, τοῖς δὲ ἡ τέρψις ἐτελεύτα πρὸς ἔνδειαν. Οὕτω νεότης πονεῖν οὐκ ἐθέλουσα παρὰ τὸ γῆρας κακοπραγεῖ. 〈ΠΕΡΙ ΔΙΗΓΗΜΑΤΟΣ.〉 Διήγημά ἐστιν ἔκθεσις πράγματος γεγονότος ἢ ὡς γεγονότος. Διενήνοχε δὲ διήγημα διηγήσεως ὡς ποιήσεως ποίημα· ποίησις μὲν γὰρ πᾶσα ἡ Ἰλιάς, ποίημα δὲ ἡ τῶν Ἀχιλλέως ὅπλων κατασκευή. Τοῦ δὲ διηγήματος τὸ μέν ἐστι δραματικόν, τὸ δὲ ἱστορικόν, τὸ δὲ πολιτικόν· καὶ δραματικὸν μὲν τὸ πεπλασμένον, ἱστορικὸν δὲ τὸ παλαιὰν ἔχον ἀφήγησιν, πολιτικὸν δὲ ᾧ παρὰ τοὺς ἀγῶνας οἱ ῥήτορες κέχρηνται. Παρέπεται δὲ τῷ διηγήματι ἕξ· τὸ πρᾶξαν πρόσωπον, τὸ πραχθὲν πρᾶγμα, χρόνος καθ’ ὅ, τόπος ἐν ᾧ, τρόπος ὅπως, αἰτία δι’ ἥν.

10.3 Ἀρεταὶ δὲ διηγήματος τέσσαρες· σαφήνεια, συντομία, πιθανότης καὶ ὁ τῶν ὀνομάτων ἑλληνισμός. Διήγημα τὸ κατὰ ῥόδον, δραματικόν. Ὁ τὸ ῥόδον θαυμάζων τοῦ κάλλους τὴν τῆς Ἀφροδίτης λογιζέσθω πληγήν. ἤρα μὲν γὰρ ἡ θεὸς τοῦ Ἀδώνιδος, ἀντήρα δὲ καὶ ὁ Ἄρης αὐτῆς, καὶ τοῦτο ἡ θεὸς ὑπῆρχεν Ἀδώνιδι, ὅπερ Ἀφροδίτῃ Ἄρης ἐτύγχανε. θεὸς ἤρα θεοῦ καὶ θεὸς ἐδίωκεν ἄνθρωπον· πόθος ὅμοιος, κἂν τὸ γένος διήλλαττε. ζηλοτυπῶν δὲ ὁ Ἄρης τὸν Ἄδωνιν ἀνελεῖν ἠβούλετο, λύσιν ἔρωτος τὸν Ἀδώνιδος ἡγησάμενος θάνατον. καὶ πλήττει μὲν Ἄρης τὸν Ἄδωνιν. μαθοῦσα δὲ τὸ ποιηθὲν ἡ θεὸς ἀμύνειν ἠπείγετο, καὶ κατὰ σπουδὴν ἐμβαλοῦσα τῷ ῥόδῳ ταῖς ἀκάνθαις προσέπταισε, καὶ τὸν μὲν ταρσὸν τοῦ ποδὸς περιπείρεται, τὸ δὲ καταρρεῦσαν αἷμα τοῦ τραύματος τὴν τοῦ ῥόδου χροιὰν εἰς τὴν οἰκείαν ὄψιν μετέθηκε, καὶ τὸ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ῥόδον τὴν ἀρχὴν λευκὸν γεγονὸς εἰς ὃ νῦν ὁρᾶται μετῆλθεν. 〈ΠΕΡΙ ΧΡΕΙΑΣ.〉 Χρεία ἐστὶν ἀπομνημόνευμα σύντομον εὐστόχως ἐπί τι πρόσωπον ἀναφέρουσα. Χρειώδης δὲ οὖσα προσαγορεύεται χρεία.

10.4 Τῆς δὲ χρείας τὸ μέν ἐστι λογικόν, τὸ δὲ πρακτικόν, τὸ δὲ μικτόν· καὶ λογικὸν μὲν τὸ τῷ λόγῳ δηλοῦν τὴν ὠφέλειαν, οἷον ὁ Πλάτων τοὺς τῆς ἀρετῆς κλῶνας ἱδρῶτι καὶ πόνοις ἔλεγε φύεσθαι· πρακτικὸν δὲ τὸ πρᾶξιν σημαῖνον, οἷον Πυθαγόρας ἐρωτηθείς, ὅσος ἂν εἴη τῶν ἀνθρώπων ὁ βίος, βραχύ τι φανεὶς ἀπεκρύψατο, μέτρον τοῦ βίου τὴν θέαν ποιούμενος· μικτὸν δὲ τὸ ἐξ ἀμφοτέρων, λόγου καὶ πράξεως, οἷον Διογένης μειράκιον ἑωρακὼς ἀτακτοῦν τὸν παιδαγωγὸν ἔπαισεν ἐπειπὼν 'τί γὰρ τοιαῦτα παιδεύεις;' Ἡ μὲν οὖν διαίρεσις αὕτη τῆς χρείας· ἐργάσαιο δὲ αὐτὴν τοῖσδε τοῖς κεφαλαίοις· ἐγκωμιαστικῷ, παραφραστικῷ, τῷ τῆς αἰτίας, ἐκ τοῦ ἐναντίου, παραβολῇ, παραδείγματι, μαρτυρίᾳ παλαιῶν, ἐπιλόγῳ βραχεῖ. Χρεία λογική· Ἰσοκράτης τῆς παιδείας τὴν μὲν ῥίζαν ἔφη πικράν, γλυκεῖς δὲ τοὺς καρπούς . Θαυμάσαι δίκαιον Ἰσοκράτην τῆς τέχνης, ὃς ὄνομα αὐτῇ κατεφάνη λαμπρότατον, καὶ ὅση τις ἦν, ἀσκῶν ἐπεδείξατο, καὶ κηρύττει τὴν τέχνην, οὐκ αὐτὸς ἐκ ταύτης κεκήρυκται.

10.5 ὅσα μὲν τοίνυν ἢ βασιλεῦσι νομοθετῶν ἢ παραινῶν τοῖς καθ' ἕκαστον τὸν τῶν ἀνθρώπων εὖ πεποίηκε βίον, μακρὸν ἂν εἴη διεξελθεῖν, ἀλλ' οἷα περὶ τῆς παιδείας ἐφιλοσόφησεν. ''Ο παιδείασ', φησίν, 'ἐρῶν πόνων μὲν ἄρχεται, πόνων δὲ ὅμως τελευτώντων εἰς ὄνησιν'. καὶ ἃ μὲν ἐφιλοσόφησε, ταῦτα· τοῖς δὲ ἐφεξῆς θαυμασόμεθα. Οἱ γὰρ παιδείας ἐρῶντες τοῖς τῆς παιδείας ἡγεμόσι συνεξετάζονται, παρ' οἷς καὶ τὸ προσελθεῖν φοβερὸν καὶ τὸ διαλιπεῖν ἀμαθέστατον· φόβος ἀεὶ τοῖς παισὶ περιγίνεται καὶ παροῦσι καὶ μέλλουσι. διδασκάλους παιδαγωγοὶ διαδέχονται, φοβεροὶ μὲν ἰδεῖν, αἰκιζόμενοι δὲ φοβερώτεροι· φθάνει τὴν πεῖραν τὸ δέος καὶ διαδέχεται τὸ δέος ἡ κόλασις· καὶ τὰ μὲν ἁμαρτήματα τῶν παίδων μετέρχονται, οἰκεῖα δὲ τὰ κατορθώματα κρίνουσι. τῶν παιδαγωγῶν οἱ πατέρες εἰσὶ χαλεπώτεροι, τὰς ὁδοὺς ἀνακρίνοντες, προελθεῖν ἐπιτάττοντες καὶ τὴν ἀγορὰν ὑποπτεύοντες· κἂν δέῃ κολάζειν, ἀγνοοῦσι τὴν φύσιν. ἀλλ' ἐν τούτοις ὢν ὁ παῖς εἰς ἄνδρας ἐλθὼν ἀρετῇ περιστέφεται. Εἰ δέ τις ταῦτα φοβούμενος φεύγει μὲν τοὺς διδασκάλους, ἀποδράσει δὲ τοὺς πατέρας, τοὺς δὲ παιδαγωγοὺς ἀποστραφείη, παντελῶς τῶν λόγων ἐστέρηται καὶ μετὰ τοῦ δέους τοὺς λόγους ἀφῄρηται. ταῦτα δὴ πάντα τὴν Ἰσοκράτους ἔπεισε γνώμην πικρὰν ὀνομάσαι τῆς παιδείας τὴν ῥίζαν.

10.6 Ὥσπερ γὰρ οἱ γῆν ἐργαζόμενοι πόνῳ μὲν τῇ γῇ τὰ σπέρματα καταβάλλουσι, τοὺς δὲ καρποὺς ἡδονῇ μείζονι συγκομίζονται, τὸν αὐτὸν τρόπον οἱ παιδείας ἀντιποιούμενοι πόνῳ τὴν εἰς ἔπειτα δόξαν εἰλήφασι. Τὸν Δημοσθένους ὅρα μοι βίον, παντὸς μὲν ὄντα φιλοπονώτερον ῥήτορος, γεγονότα δὲ παντὸς εὐκλεέστερον· καὶ γὰρ τοσοῦτον αὐτῷ σπουδῆς περιῆν, ὡς καὶ τὸν κόσμον παραιρεῖσθαι τῆς κεφαλῆς, κόσμον ἄριστον τὸ ἐξ ἀρετῆς ἡγησάμενον· καὶ πόνοις ἀνάλωσεν, ἃ πρὸς ἡδονὰς ἀναλίσκουσιν ἕτεροι. Διὸ θαυμάσαι τὸν Ἡσίοδον δεῖ τραχεῖαν εἰπόντα τῆς ἀρετῆς τὴν ὁδόν, τὴν δὲ ἄκραν ῥᾳδίαν, τὴν αὐτὴν Ἰσοκράτει γνώμην φιλοσοφήσαντα· ὃ γὰρ Ἡσίοδος ὁδὸν ἀπεφήνατο, Ἰσοκράτης ῥίζαν ἐκάλεσεν, ἐν διαφόροις ὀνόμασι μίαν ἀμφότεροι δηλοῦντες διάνοιαν. Πρὸς ἃ δεῖ βλέποντας Ἰσοκράτην θαυμάζειν κάλλιστα περὶ τῆς παιδείας φιλοσοφήσαντα. 〈ΠΕΡΙ ΓΝΩΜΗΣ.

10.7.(1t) 〉 Γνώμη ἐστὶ λόγος ἐν ἀποφάνσεσι κεφαλαιώδης ἐπί τι προτρέπων ἢ ἀποτρέπων. Τῆς δὲ γνώμης τὸ μέν ἐστι προτρεπτικόν, τὸ δὲ ἀποτρεπτικόν, τὸ δὲ ἀποφαντικόν, καὶ τὸ μὲν ἁπλοῦν, τὸ δὲ συνεζευγμένον, τὸ δὲ πιθανόν, τὸ δὲ ἀληθές, τὸ δὲ ὑπερβολικόν. καὶ προτρεπτικὸν μὲν ὡς «χρὴ ξεῖνον παρεόντα φιλεῖν, ἐθέλοντα δὲ πέμπειν», ἀποτρεπτικὸν δὲ ὡς «οὐ χρὴ παννύχιον εὕδειν βουληφόρον ἄνδρα», ἀποφαντικὸν δὲ ὡς «δεῖ δὲ χρημάτων, καὶ ἄνευ τούτων οὐδὲν ἔστι γενέσθαι τῶν δεόντων». καὶ ἁπλοῦν μὲν ὡς «εἷς οἰωνὸς ἄριστος· ἀμύνεσθαι περὶ πάτρης»,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

συνεζευγμένον δὲ ὡς «οὐκ ἀγαθὸν πολυκοιρανίη· εἷς κοίρανος ἔστω», πιθανὸν δὲ ὡς «τοιοῦτός ἐστιν ἕκαστος, οἷσπερ ἥδεται ξυνών», ἀληθὲς δὲ ὡς «οὐκ ἔστιν εὑρεῖν βίον ἄλυπον οὐδενί», ὑπερβολικὸν δὲ ὡς «οὐδὲν ἀκιδνότερον γαῖα τρέφει ἀνθρώποιο.

10.8 » Ἡ μὲν οὖν διαίρεσις αὕτη τῆς γνώμης· ἐργάσαιο δ' αὐτὴν τοῖς τῆς χρείας κεφαλαίοις, ἐγκωμιαστικῷ, παραφραστικῷ, τῷ τῆς αἰτίας, ἐκ τοῦ ἐναντίου, παραβολῇ, παραδείγματι, μαρτυρίᾳ παλαιῶν, ἐπιλόγῳ βραχεῖ. Διενήνοχε δὲ ἡ χρεία τῆς γνώμης τῷ τὴν μὲν χρείαν εἶναί ποτε πρακτικήν, τὴν δὲ γνώμην ἀεὶ λογικήν, καὶ τῷ τὴν μὲν χρείαν δεῖσθαι προσώπου, τὴν δὲ γνώμην ἀπροσώπως ἐκφέρεσθαι. Γνώμη προτρεπτική· «Χρὴ πενίην φεύγοντα καὶ ἐς μεγακήτεα πόντον ῥιπτεῖν καὶ πετρῶν, Κύρνε, κατ' ἠλιβάτων.» Κατηγορεῖσθαι τὴν ποίησιν οὐκ ἀφῆκεν ὁ Θέογνις, ἀντὶ τῶν μύθων ἀσκήσας παραίνεσιν. ὁρῶν γὰρ ποιητὰς τὸ μυθολογεῖν περὶ πολλοῦ ποιουμένους, τοὺς μύθους ἀφεὶς ὑποθήκας ὡς χρὴ ζῆν ἐν τῷ μέτρῳ συνήγαγεν, ἅμα τοῦ μέτρου τὴν χάριν τηρῶν καὶ τῆς ὑποθήκης ἐπεισφέρων τὸ κέρδος. καὶ πολλῶν μὲν ἄν τις ἐπαινέσει τὸν Θέογνιν, μάλιστα δὲ ὧν περὶ τὴν πενίαν ἐφιλοσόφησε. Καὶ τί φησιν; ‛ὁ πενίᾳ συζῶν ἀγαπάτω πεσεῖν, ὡς ἄμεινον τοῦ βίου προαπελθεῖν ἢ τὸν ἥλιον αἰσχύνης κτήσασθαι μάρτυρα.

10.9 ‘ καὶ ἃ μὲν ἐφιλοσόφησε, τάδε· πάρεστι δὲ ἰδεῖν ὡς καλῶς. Ὁ γὰρ πενίᾳ συζῶν πρῶτον μὲν ἐν παισὶν ὢν ἀρετὴν οὐκ ἀσκεῖ, προϊὼν δὲ εἰς ἄνδρας πάντα πράξει τὰ χαλεπώτατα· πρεσβεύων μὲν γὰρ τὴν πατρίδα χρημάτων προήσεται, δημηγορῶν δὲ πρὸς ἀργύριον φθέγξεται, καὶ δικάζειν λαχὼν δωροδοκήσει ταῖς ψήφοις. Οὐ μὴν οἱ πενίας ἀπηλλαγμένοι τοιοῦτοι· παῖδές τε γὰρ ὄντες ἀσκοῦσι τὰ κάλλιστα, καὶ προϊόντες εἰς ἄνδρας πάντα δρῶσι περιφανῶς, χορηγοῦντες μὲν παρὰ τὰς ἑορτάς, ἐν δὲ ταῖς μάχαις εἰσφέροντες. Ὥσπερ δὲ οἱ δεσμῷ κατειλημμένοι δεινῷ τὸν δεσμὸν ἔχουσι τοῦ ποιεῖν κώλυμα, τὸν αὐτὸν τρόπον οἱ πενίᾳ συζῶντες τὴν ἀπορίαν τῆς παρρησίας ἐμποδὼν ἀπειλήφασι. Σκόπει τὸν Ἶρον, ὃς Ἰθάκης μὲν εἷς ἐγεγένητο, τὴν αὐτὴν δὲ τοῖς ἄλλοις πολίταις οὐ μετελάμβανεν ἄδειαν, ἀλλὰ τοσοῦτον αὐτῷ τῆς ἐνδείας προσῆν, ὡς μεταθεῖναι τῇ πενίᾳ τὴν κλῆσιν· Ἀρναῖος γὰρ τὴν ἀρχὴν προσκληθεὶς Ἶρος μετωνομάζετο, τὴν ἐπωνυμίαν ἐκ τοῦ διακονεῖν κομισάμενος. Καὶ τί δεῖ τὸν Ἶρον εἰπεῖν; ἀλλ' Ὀδυσσεὺς ὁ τῆς Ἰθάκης κρατῶν, ἐπειδὴ τῆς αὑτοῦ γῆς ἐπιβὰς πενίαν ἐσχηματίζετο, τῶν τῆς πενίας κακῶν μετελάμβανεν, οἴκοι βαλλόμενος κἀκ τῶν θεραπαινίδων παροινούμενος.

10.10 οὕτω πενία καὶ μέχρι τοῦ δοκεῖν ἐστι χαλεπή. Διὸ θαυμάσαι τὸν Εὐριπίδην με δεῖ κακὸν τὸ μὴ ἔχειν εἰπόντα, τὴν δὲ εὐγένειαν ἀδύνατον εἶναι τὴν πενίαν μεταβαλεῖν. Ὥστε πῶς ἔνεστι κατ' ἀξίαν θαυμάσαι τὸν Θέογνιν τοιαῦτα περὶ τῆς πενίας φιλοσοφήσαντα; 〈ΠΕΡΙ ΑΝΑΣΚΕΥΗΣ.〉 Ἀνασκευή ἐστιν ἀνατροπὴ προκειμένου τινὸς πράγματος. Ἀνασκευαστέον δὲ τὰ μήτε λίαν σαφῆ μήτε ἀδύνατα παντελῶς, ἀλλ' ὅσα μέσην ἔχει τὴν τάξιν. Δεῖ δὲ ἀνασκευάζοντας πρῶτον μὲν εἰπεῖν τὴν τῶν φησάντων διαβολήν, εἶτα ἐπιθεῖναι τὴν τοῦ πράγματος ἔκθεσιν, καὶ κεφαλαίοις χρήσασθαι τοῖσδε· πρῶτον μὲν ἀσαφεῖ καὶ ἀπιθάνῳ, πρὸς τούτοις ἀδυνάτῳ καὶ ἀνακολούθῳ καὶ ἀπρεπεῖ, καὶ τελευταῖον ἐπάγειν ἀσύμφορον. Τὸ δὲ προγύμνασμα τοῦτο πᾶσαν ἐν ἑαυτῷ περιέχει τὴν τῆς τέχνης ἰσχύν. Ἀνασκευή· ὅτι οὐκ εἰκότα τὰ κατὰ Δάφνην. Ποιηταῖς μὲν ἀντερεῖν ἄλογον, αὐτοὶ δὲ πρὸς αὐτοὺς ἀντιλέγειν ἐπαίρουσιν, εἰς θεοὺς πρότεροι λογοποιοῦντες τοιαῦτα.

10.11 πῶς οὖν οὐκ ἄλογον θεῶν μὲν αὐτοὺς μηδένα ποιήσασθαι λόγον, ἡμᾶς δὲ λόγον ἔχειν τῶν ποιητῶν; πάντων μὲν οὖν ἤλγουν ἐγὼ προπηλακιζομένων θεῶν, Ἀπόλλωνος δὲ μᾶλλον, ὃν ἡγεμόνα τῆς οἰκείας αὐτοὶ πεποίηνται τέχνης· οἷα γὰρ περὶ τῆς Ἀπόλλωνος μεμυθολογήκασι Δάφνης. Δάφνη, φησί, Γῆς προῆλθε καὶ Λάδωνος, καὶ τὴν ὄψιν τῶν πολλῶν διαφέρουσα ἐραστὴν ἑαυτῆς ἐποιεῖτο τὸν Πύθιον· ὃ δὲ ἐρῶν μὲν ἐδίωκε, διώκων δὲ οὐχ ᾕρει, ἀλλ' ἡ Γῆ τὴν παῖδα δεξαμένη ἄνθος ὁμώνυμον τῆς κόρης ἀνέδωκε· καὶ μεταβεβλημένην ἐστεφανώσατο, καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τὸ φυτὸν στέφανος εἰς Πύθιον τὸν τρίποδα διὰ πόθον τὸν ἐπὶ κόρῃ θνητῇ προτιθέμενος καὶ τὸ βλάστημα γνώρισμα ποιεῖται τῆς τέχνης. καὶ ἃ μὲν μεμυθολογήκασι, τάδε· πάρεστι δὲ ἔλεγχον λαβεῖν ἐκ τῶν ἐφεξῆς. Δάφνη Λάδωνος προῆλθε καὶ Γῆς· τίνα τοῦ γένους ἔχουσα πίστιν; ἣ μὲν γὰρ ἄνθρωπος, οἳ δὲ φύσιν ἄλλην παρὰ ταύτην ἐκτήσαντο. Πῶς δὲ ὁ Λάδων συνάπτεται Γῇ; ἐπικλύζων τοῖς ὕδασιν; οὐκοῦν ἅπαντες οἱ ποταμοὶ Γῆς ἄνδρες ἐπονομάζονται· πάντες γὰρ αὐτὴν ἐπικλύζουσιν. Εἰ δὲ ποταμοῦ προελήλυθεν ἄνθρωπος, ὥρα καὶ ποταμὸν ἐξ ἀνθρώπων ἐλθεῖν· διαδοχαὶ γὰρ δηλοῦσι τοὺς φύσαντας.

10.12 Τί δὲ γάμον ποταμοῦ τε καὶ γῆς ὀνομάζουσι; τῶν αἰσθανομένων ὑμέναιος, ἡ δὲ γῆ τῶν αἰσθανομένων οὐ πέφυκεν. Ἢ τοίνυν τὴν Δάφνην λογιστέον ἐν ῥεύμασιν ἢ τὸν Λάδωνα θετέον εἰς ἄνθρωπον. Ἀλλ' ἤτω, συγκεχωρήσθω τοῖς ποιηταῖς γενέσθαι τὴν Δάφνην Γῆς τε καὶ Λάδωνος. ἡ παῖς τεχθεῖσα παρὰ τίσιν ἐτρέφετο; κἂν γὰρ συγχωρήσω τὴν γέννησιν, ἡ τροφὴ προῆλθεν ἀδύνατος. ποῦ γὰρ ἡ παῖς εἶχε τὴν δίαιταν; 'νὴ Δία παρὰ τῷ φύσαντι.' καὶ τίς ἀνθρώπων ἐν ποταμῷ φέρει τὴν δίαιταν; ἐλάνθανεν ὁ πατὴρ ἀποπνίγων τοῖς νάμασιν ἢ τρέφων τοῖς ῥεύμασιν. 'ἀλλ' ὑπὸ γῆν ἡ παῖς διῃτᾶτο παρὰ τὴν φύσασαν.' οὐκοῦν ἐλάνθανε καὶ θεατὴν οὐκ εἶχε λανθάνουσα· ἧς δὲ τὸ κάλλος ἐκρύπτετο, πόθος γένεσιν οὐκ ἐδέχετο. Βούλει καὶ τοῦτο συγκεχωρήσθω τοῖς ποιηταῖς. πῶς ἤρα θεὸς καὶ πόθῳ τὴν φύσιν ἐψεύδετο; ἔρως τῶν ὄντων τὸ χαλεπώτατον, καὶ θεοῖς μαρτυρεῖν ἀσεβὲς τὰ δεινότατα· εἰ μὲν γὰρ πάντα νοσοῦσι θεοί, τί θνητῶν ἔτι διοίσουσιν; εἰ δὲ τὸ δεινότατον ἔρωτα φέρουσι, τί τῶν πολλῶν ἠλλοτρίωνται τὸ χαλεπώτερον φέροντες; ἀλλ' οὔτε τὸ πάθος οἶδεν ἡ φύσις οὔτε ὁ Πύθιος ἐραστὴς κατεφαίνετο. Πῶς δὲ διώκων τὴν κόρην ὁ Πύθιος θνητῆς ἐγένετο δεύτερος; ἄνδρες γυναικῶν ὑπερέχουσι, καὶ γυναῖκες θεῶν μεῖζον εἰλήφασι; τὸ θνητοῖς ἐλαττούμενον καὶ θεοὺς ὑπερέβαλε; Τί δὲ ἡ μήτηρ τὴν κόρην ἐδέχετο φεύγουσαν; τῶν φαύλων ὁ γάμος; καὶ πῶς αὐτὴ μήτηρ ἐγένετο; ἀλλὰ τῶν ἀγαθῶν; καὶ τί τὴν παῖδα τῶν καλῶν ἀπεστέρησεν; Ἢ τοίνυν μήτηρ οὐ γέγονεν ἢ γενομένη φαύλη νομίζεται.

10.13 Τί δὲ τοῖς οἰκείοις ἔργοις ἡ Γῆ διεμάχετο; ἐλύπει τὸν Πύθιον σῴζουσα, καὶ τὸν αὐτὸν πάλιν ἐψυχαγώγει παράγουσα; ψυχαγωγεῖν οὐκ ἐχρῆν, εἰ λυπεῖν ἐβούλετο. Τί δὲ ὁ θεὸς ἐστεφανοῦτο τὸ δένδρον παρὰ τοὺς τρίποδας; ἡδονῆς τὸ βλάστημα γέγονε σύμβολον, ἀρετῆς δὲ μαντεία τεκμήριον δείκνυται· πῶς οὖν συνῆψεν ὁ Πύθιος, ἃ μὴ πέφυκε μίγνυσθαι; τί δαί; θνητὴ μὲν ἡ πρόφασις, τὸ δὲ πάθος ἀθάνατον; Πέρας ἔστω τῶν ποιητῶν, μὴ κατὰ ποιητὰς δόξω φθεγγόμενος. 〈ΠΕΡΙ ΚΑΤΑΣΚΕΥΗΣ.〉 Κατασκευή ἐστι προκειμένου τινὸς βεβαίωσις πράγματος. Κατασκευαστέον δὲ τὰ μήτε λίαν σαφῆ μήτε ἀδύνατα παντελῶς, ἀλλ' ὅσα μέσην ἔχει τὴν τάξιν. Δεῖ δὲ κατασκευάζοντας τοῖς ἐναντίοις χρήσασθαι τῆς ἀνασκευῆς καὶ πρῶτον μὲν εἰπεῖν εὐφημίαν τοῦ φήσαντος, εἶτα ἐν μέρει θεῖναι τὴν ἔκθεσιν, καὶ τοῖς ἐναντίοις χρήσασθαι κεφαλαίοις, ἀντὶ μὲν ἀσαφοῦς τῷ σαφεῖ, ἀντὶ δὲ ἀπιθάνου τῷ πιθανῷ καὶ δυνατῷ ἀντὶ τοῦ ἀδυνάτου καὶ ἀκολούθῳ ἀντὶ τοῦ ἀνακολούθου τῷ τε πρέποντι ἀντὶ τοῦ ἀπρεποῦς καὶ συμφέροντι ἀντὶ τοῦ ἀσυμφόρου.

10.14 Ἡ γυμνασία δὲ αὕτη πᾶσαν περιέχει τὴν τῆς τέχνης ἰσχύν. Κατασκευή· ὅτι εἰκότα τὰ κατὰ Δάφνην. Ὁ ποιηταῖς ἀντερῶν αὐταῖς ἀντερεῖν δοκεῖ μοι ταῖς Μούσαις· εἰ γάρ, ὅσα ποιηταὶ φθέγγονται, ταῦτα τῇ τῶν Μουσῶν διεξέρχονται γνώμῃ, πῶς οὐκ ἂν ἀντιλέγοι ταῖς Μούσαις ὁ τὰ ποιητῶν κακίσαι ζητῶν; πάντων μὲν οὖν ἐγὼ τὴν γνώμην ἀποδέχομαι τῶν ποιητῶν, πάντων δὲ μάλιστα τοῦ τὴν Δάφνην ἐρωμένην εἶναι τοῦ Πυθίου φιλοσοφήσαντος· οἷα γὰρ εἰπόντος τινὲς ἀπιστοῦσι. Δάφνη, φησί, Γῆς προῆλθε καὶ Λάδωνος. τί τοῦτο πρὸς θεῶν ἄπιστον; οὐχ ἅπασι γένεσις ὕδωρ καὶ γῆ; οὐ σπέρμα τοῦ βίου τὰ στοιχεῖα προέρχεται; εἰ δὲ γῆς τε καὶ ὕδατος ἅπαν ὃ γίνεται πρόεισι, βεβαιοῖ Δάφνη τὴν κοινὴν ἁπάντων γονήν, Γῆς προελθοῦσα καὶ Λάδωνος. Γεγονυῖα δὲ ὅθεν ἅπαντα γίνεται, τὴν ὄψιν προεῖχε τῶν ἄλλων, καὶ μάλα εἰκότως· ἃ

γὰρ πρῶτα γῆς ἀναδίδοται, μετὰ τοῦ τῆς φύσεως προέρχεται κάλλους· πολλαὶ μὲν γὰρ σωμάτων μεταβολαὶ καθεστήκασι, παρ’ οἷς ὁρᾶται τὸ κάλλος, τὸ δὲ πρῶτον φανὲν τῶν πάντων ἐστὶν ὡραιότερον.

10.15 εἰκότως οὖν Δάφνη τὴν ἰδέαν προήνεγκε, πρώτη τῶν ἄλλων γενομένη τῆς γῆς. Διαφερούσης δὲ Δάφνης τὴν ὄψιν, ἠράσθη τῆς παιδὸς ὁ Πύθιος, καὶ μάλα εἰκότως· πᾶν γὰρ εἴ τι καλὸν ἐν γῇ πολιτεύεται, προῆλθε θεῶν· εἰ δὲ τῶν ἐπὶ γῆς ἀγαθῶν τὸ κάλλος εὐδαιμονέστερον, οἷς τὸ κάλλος δωρεὰ τῶν θεῶν, ἐραστὴν εἶχε τὸ κάλλος θεόν· ἃ γὰρ θεοὶ δωροῦνται, στέργουσιν ἅπαντες. Ἐρῶν δὲ ὁ θεὸς προῃρεῖτο τὸ πάθος ἰάσασθαι. τοιαῦται γὰρ αἱ ἀρεταὶ πρὸς βίαν ἔχουσι κτώμεναι, καὶ πόνων χωρὶς ἀρετὴν οὐχ ὑπάρχει λαβεῖν· ὅθεν ἐπόνει ποθῶν καὶ πονῶν οὐ κατείληφε. πέρας γὰρ οὐκ ἔστιν ἀρετῆς κατιδεῖν· ὅθεν ἐρᾶν τὸν Πύθιον λέγουσιν, οὐ γῆν, οὐ τὴν φύσιν τῶν θεῶν ἐξελέγχοντες, ἀλλὰ τῆς ἀρετῆς τὴν φύσιν δηλοῦντες ὑπαίτιον· καὶ χαρακτηρίζει τὸ διῶκον τὸ διωκόμενον. Φευγούσης δὲ τῆς παιδός, ἡ μήτηρ ἐδέχετο. τὰ γὰρ θνητὰ πάντα τοιᾶσδε γέγονε φύσεως· ἀφ’ ὧν προῆλθον, ἐπὶ ταῦτα ἐπείγονται.

10.16 διὸ χωρεῖ Δάφνη πρὸς Γῆν, τῆς Γῆς προελθοῦσα. Καὶ δεξαμένη τὴν κόρην ἡ Γῆ φυτὸν ἀνέδωκεν· ἄμφω γὰρ ἔργα καθέστηκε γῆς, καὶ παρὰ ταύτην ἄνθρωποι πίπτοντες καὶ δένδρα παρ’ ἐκείνης φυόμενα. Καὶ φανὲν τὸ φυτὸν Ἀπόλλωνι τιμῆς γέγονεν αἴτιον· θεοὶ γὰρ ἔξωθεν τῆς ἑαυτῶν προνοίας οὐδὲ τὰ φυτὰ καταλείπουσιν, ἀλλὰ καὶ στεφανοῦνται γινόμενα· ἀπαρχαὶ γὰρ γῆς θεοῖς ἀνατίθενται. Καὶ μαντικῆς γέγονε σύμβολον, προσῆκον οἶμαι καὶ τοῦτο· τήν τε γὰρ κόρην Σωφρόνην ὀνομάζουσι, καὶ χρησμῳδεῖν σωφροσύνης προέρχεται. οἷς τοίνυν ἠγνόησεν ἡ παῖς ἡδονήν, ἀρεταῖς ἀνατίθεται· οὐ γὰρ ἦν ἰδεῖν τὸ μέλλον ἀκρασίαν νοσήσαντα. Ἐπὶ τούτοις θαυμάζω τοὺς ποιητάς, καὶ διὰ τοῦτο τὸ μέτρον τιμῶ. 〈ΠΕΡΙ ΚΟΙΝΟΥ ΤΟΠΟΥ.〉 Κοινός ἐστι τόπος λόγος αὐξητικὸς τῶν προσόντων κακῶν. Εἴρηται δὲ οὕτως ἀπὸ τοῦ κοινῇ πᾶσιν ἁρμόττειν τοῖς μετασχοῦσι τοῦ αὐτοῦ πράγματος· ὁ γὰρ κατὰ προδότου λόγος κοινῇ πᾶσιν ἥρμοσε τοῖς κοινωνοῦσι τῆς πράξεως.

10.17 Δευτερολογίᾳ δὲ ἔοικε καὶ ἐπιλόγῳ· διὸ προοίμιον μὲν ὁ κοινὸς τόπος οὐκ ἔχει, προοιμίων δὲ πλαττόμεθα τύπον γυμνασίας ἕνεκα τῆς πρὸς τοὺς νέους· μεθ’ ἃ θήσεις κεφάλαιον πρῶτον ἐκ τοῦ ἐναντίου, εἶτα ἐποίσεις τὴν ἔκθεσιν οὐχ ὡς διδάσκων, ἔγνωσται γάρ, ἀλλ’ ὡς παροξύνων τὸν ἀκροώμενον· μεθ’ ἣν ἐποίσεις τὴν σύγκρισιν ἐκ παραθέσεως συνάγων τῷ κατηγορουμένῳ τὸ μεῖζον· εἶτα γνώμην κεφάλαιον οὕτω καλούμενον, διαβάλλων τὴν τοῦ πράξαντος διάνοιαν· εἶτα παρέκβασιν, στοχαστικῶς κακίζων τὸν φθάσαντα βίον· ἔπειτα ἐλέου ἐκβολήν, καὶ τελευταῖα τοῦ προγυμνάσματος τὰ τελικὰ κεφάλαια, νόμιμον, δίκαιον, συμφέρον, δυνατόν, ἔνδοξον, ἐκβησόμενον. Κοινὸς τόπος κατὰ τυράννου. Ὡς ἑστήκασι νόμοι καὶ δικαστήρια παρ’ ἡμῖν πολιτεύεται, νόμοις ὑπεχέτω τὴν κόλασιν ὁ μηκέτι εἶναι τοὺς νόμους ποιῶν. εἰ μὲν γὰρ ἔμελλε τὴν παροῦσαν δίκην διαφυγὼν δημοτικώτερος ἔσεσθαι, τυχὸν ἄν τις αὐτὸν ἀφῆκε τῆς δίκης· ἐπειδὴ δὲ τὸ παρὸν ἐκφυγὼν βιαιότερος ἔσται, ποῦ δίκαιον τυραννίδος ἀρχὴν τὴν τοῦ παρόντος καταστῆναι συγγνώμην; Οἱ μὲν οὖν ἄλλοι πάντες ὅσοι τὸ δικάζειν εἰλήχασιν οὐδέν τι βλάβος ἐκ τῆς τῶν κρινομένων ἀφέσεως κέκτηνται, τυραννίδος δὲ ἄφεσις ἐπὶ τοὺς δικάζοντας ἐποίσει τὴν βλάβην· οὐδὲ γὰρ τὸ δικάζειν ἔτι καταλιμπάνεται τυράννου κρατήσαντος.

10.18 Δοκεῖτε δέ μοι μᾶλλον περὶ τῆς τοῦ παρόντος διανοίας σκοπεῖν ἀκριβέστερον, εἰ τὰς τῶν προγόνων λογίσοισθε γνώμας· ἡμῖν ὥσπερ καλῶς ποιοῦντες πολιτείαν εὗρον δυναστείας ἀπηλλαγμένην, καὶ μάλα δικαίως· ἐπειδὴ γὰρ ἄλλοτε ἄλλαι τοῖς ἀνθρώποις τύχαι προσπίπτουσι καὶ μεταποιοῦσι τῶν ἀνθρώπων τὰς γνώμας, ἐπανορθούμενοι τὸ τῆς τύχης ἀνώμαλον τῇ τῶν νόμων ἰσότητι νόμους ἐξεῦρον, μίαν πᾶσιν ἐξ αὐτῶν ἐργαζόμενοι γνώμην· καὶ τοῦτο ταῖς πόλεσι γίνεται νόμος, ἐπανόρθωμα κακῶν ὧν αἱ τύχαι ποιοῦσιν. Ὧν οὗτος οὐδὲν ἐνθυμούμενος βεβούλευταί τι βούλευμα κάκιστον, τὸν τῆς πολιτείας μεταθεῖναι θεσμόν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ τοιαῦτα πρὸς ἑαυτὸν διελέγετο· ‘τί ταῦτα, θεοί; παρὰ τοὺς πολλοὺς ὀφθεὶς ἴσον καθάπαξ ἔχων τοῖς ἄλλοις ἀνέξομαι καὶ μάτην ἐῶ τὴν τύχην φιλοτιμεῖσθαι τὸν πλοῦτον; εἰ ταὐτὰ τοῖς πολλοῖς ὑποστήσομαι καὶ συνιόντες κρινοῦσι πένητες, καὶ τὸ δοκοῦν τοῖς πολλοῖς νόμος προῆλθεν ἐμοί. τίς οὖν ἔσται τούτων ἀπαλλαγή; καταλήψομαι τὴν ἀκρόπολιν καὶ τοὺς κάκιστα ἀπολουμένους ἐκποδὼν καταστήσομαι νόμους καὶ οὕτω νόμος ἔσομαι τοῖς πολλοῖς, οὐχ οἱ πλείους ἐμοί.

10.19 ‘ ταῦτα πρὸς ἑαυτὸν διεξήρχετο οὐκ ἐπιθεὶς τὸ πέρας· θεῶν γὰρ κατεκώλυσεν εὔνοια. μὴ οὖν δι’ ὧν χάριν τοῖς θεοῖς ἐποφείλομεν, ταῦτα τοῦτον καὶ διασώσειε τήμερον. Δεινὸν ὁ φονεύς, ἀλλὰ τύραννος μεῖζον καθίσταται· ὃ μὲν γὰρ εἰς ἕνα παρατυχόντα μιαιφονεῖ, ὃ δὲ ὅλας μεταβάλλει τὰς τῆς πόλεως τύχας. ὅσῳ τοίνυν τὸ λυπεῖν ἐν βραχεῖ τοῦ πάντας μιαιφονεῖν ὑπάρχει καταδεέστερον, τοσοῦτον ἀνδροφόνος τυράννου φαυλότερον. Ἕπεται τοῖς ἄλλοις ἅπασιν ἀνθρώποις, κἂν δεινότατα πράξωσι, τὴν γνώμην γοῦν ἐξελέσθαι τῆς πράξεως, μόνος δὲ τύραννος ἀκούσιον εἰπεῖν οὐκ ἔσχε τὴν τόλμαν. εἰ μὲν γὰρ ἄκων ἐνεχείρει τῷ τυραννεῖν, τυχὸν ἄν τις αὐτὸν ἀφῆκε τὴν δίκης· ἐπειδὴ δὲ βεβουλευμένως ἔδρασε, ποῦ δίκαιον ὑπεξελεῖν τὸ πρὸ τῶν ἔργων τῇ γνώμῃ γενόμενον; Οἱ μὲν οὖν ἄλλοι πάντες ἄνθρωποι παρ’ ὑμῖν οἱ κρινόμενοι τὸ παρὸν μόνον ὑπεύθυνον ἔχουσι, διὰ δὲ τὸ φθάσαν πολλάκις ἀφίενται, μόνος δὲ ὁ παρὼν ἐπ’ ἀμφοτέρῳ κρίνεται βίῳ· τό τε γὰρ φθάσαν ἐπὶ μετρίοις οὐκ ἤγαγε καὶ τὸ παρὸν τῶν γεγενημένων ἐστὶ χαλεπώτερον.

10.20 ὥστε ἀμφοτέρων ὑπεχέτω τὴν δίκην, ὧν τε πρότερον καὶ ὧν μετ’ ἐκεῖνα λελύπηκε. Τίνες οὖν αὐτὸν ἐξαιτούμενοι λύσονται; ‘νὴ Δία παῖδες.‘ ἀλλ’ ὁπόταν ὀδύρωνται, τότε παρεστάναι τοὺς νόμους νομίσατε, οἷς πολλῷ δήπου δικαιότερον ἢ τοῖς τούτου παισὶ τὴν ψῆφον ἐπενεγκεῖν· διὰ μὲν γὰρ τοὺς τούτου παῖδας ἡ τούτου τυραννὶς βεβαιώσεται, διὰ δὲ τοὺς νόμους τὸ δικάζειν ὑμεῖς παρειλήφατε. ὥστε δι’ οὓς ὑμεῖς δικασταὶ καθεστήκατε, τούτοις ἐστὲ δικαιότεροι τὴν ψῆφον ἐπενεγκεῖν. Καίτοι εἰ νόμος τοὺς ἐλευθεροῦντας τὴν πατρίδα τιμᾶν, τοὺς καταδουλουμένους κολάζεσθαι λείπεται. Δίκαιον δὲ τοσαύτην ἐν ὑμῖν ὑποστῆναι τὴν δίκην, ὁπόσην αὐτὸς κατειργάσατο. Λυσιτελήσει δὲ πεσὼν τύραννος· ἑστάναι γὰρ παρασκευάσει τοὺς νόμους. Ῥᾷον δὲ τὴν τοῦ παρόντος ἐργάσασθαι κόλασιν· οὐ γάρ, ὥσπερ αὐτῷ δορυφόρων ἐδέησεν εἰς τὴν τῆς τυραννίδος ἐπίθεσιν, οὕτω καὶ ἡμῖν δεήσει συμμάχων εἰς τὴν τοῦ τυράννου κατάλυσιν, ἀλλὰ δικαστῶν ἀρκέσει ψῆφος ὅλην ἀνελεῖν τυραννίδος τὴν δύναμιν.

10.21 〈ΠΕΡΙ ΕΓΚΩΜΙΟΥ.〉 Ἐγκώμιόν ἐστι λόγος ἐκθετικὸς τῶν προσόντων καλῶν. Εἴρηται δὲ οὕτως ἐκ τοῦ ἐν κώμαις ᾄδειν τὸ παλαιόν· κώμας δὲ ἐκάλουν τοὺς στενωπούς. Διενήνοχε δὲ ὕμνου καὶ ἐπαίνου τῷ τὸν μὲν ὕμνον εἶναι θεῶν, τὸ δὲ ἐγκώμιον θνητῶν, καὶ τῷ τὸν μὲν ἔπαινον ἐν βραχεῖ γίνεσθαι, τὸ δὲ ἐγκώμιον κατὰ τέχνην ἐκφέρεσθαι. Ἐγκωμιαστέον δὲ πρόσωπά τε καὶ πράγματα, καιρούς τε καὶ τόπους, ἄλογα ζῷα καὶ πρὸς τούτοις φυτά· πρόσωπα μὲν ὡς Θουκυδίδην ἢ Δημοσθένην, πράγματα δὲ ὡς δικαιοσύνην ἢ σωφροσύνην, καιροὺς δὲ ὡς ἔαρ ἢ θέρος, τόπους δὲ ὡς λιμένας καὶ κήπους, ἄλογα ζῷα ὡς ἵππον ἢ βοῦν, φυτὰ δὲ ὡς ἐλαίαν ἢ ἄμπελον. Ἐγκωμιαστέον δὲ καὶ κοινῇ καὶ καθ’ ἕκαστον, κοινῇ μὲν ὡς ἅπαντας Ἀθηναίους, ἰδίᾳ δὲ ὡς Ἀθηναίων ἕνα. Ἡ μὲν οὖν διαίρεσις αὕτη τοῦ ἐγκωμίου· ἐργάσαιο δ’ αὐτὸ τοῖσδε τοῖς κεφαλαίοις· προοιμιάσῃ μὲν πρὸς τὴν οὖσαν ὑπόθεσιν· εἶτα θήσεις τὸ γένος, ὃ διαιρήσεις εἰς ἔθνος, πατρίδα, προγόνους καὶ πατέρας· εἶτα ἀνατροφήν, ἣν διαιρήσεις εἰς ἐπιτηδεύματα καὶ τέχνην καὶ νόμους· εἶτα τὸ μέγιστον τῶν ἐγκωμίων κεφάλαιον ἐποίσεις τὰς πράξεις, ἃς διαιρήσεις εἰς ψυχὴν καὶ σῶμα καὶ τύχην, ψυχὴν μὲν ὡς ἀνδρείαν ἢ φρόνησιν, σῶμα δὲ ὡς κάλλος ἢ τάχος ἢ ῥώμην, τύχην δὲ ὡς δυναστείαν καὶ πλοῦτον καὶ φίλους· ἐπὶ τούτοις τὴν σύγκρισιν ἐκ παραθέσεως συνάγων τῷ ἐγκωμιαζομένῳ τὸ μεῖζον· εἶτα ἐπίλογον εὐχῇ μᾶλλον προσήκοντα.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

10.22 Ἐγκώμιον Θουκυδίδου. Τιμᾶν ἄξιον τοὺς εὑρόντας τὰ χρήσιμα, οἷς ἐπορίσαντο κάλλιστα, καὶ τὸ παρ' ἐκείνων φανὲν ἐπανατίθεσθαι δικαίως τοῖς δείξασιν. οὐκοῦν Θουκυδίδην ἐπαινέσω τοῖς λόγοις αὐτὸν τοῖς αὐτοῦ τιμᾶν προελόμενος. Ἅπαντας μὲν οὖν τοὺς εὑρετὰς τιμᾶσθαι καλόν, τοσούτῳ δὲ μᾶλλον Θουκυδίδην τῶν ἄλλων, ὅσῳ τῶν ἁπάντων εὗρε τὸ κάλλιστον· οὔτε γὰρ λόγων ἐν τοῖς οὖσι κρεῖττον ὑπάρχει λαβεῖν οὔτε Θουκυδίδου περὶ τοὺς λόγους σοφώτερον ἔστιν εὑρεῖν. Προῆλθε τοίνυν Θουκυδίδης ἐκ γῆς, ἣ καὶ βίον αὐτῷ παρέσχε καὶ τέχνην· οὐ γὰρ ἑτέρωθεν γέγονεν, ἀλλ' ὅθεν οἱ λόγοι.

10.23 Καὶ μητέρα βίου τὰς Ἀθήνας εὑρὼν προγόνοις μὲν βασιλεῦσιν ἐχρήσατο καὶ τὸ τῆς τύχης αὐτῷ δυνατώτερον ἐκ τοῦ προτέρου προελήλυθε γένους. Καὶ προσλαβὼν ἄμφω, γένους ἰσχὺν καὶ πολιτείαν δημοτικήν, εἰς ἐπανόρθωσιν ἑκατέρου τὸ παρ' ἑκατέρου φέρεται κέρδος, τὸ μὴ πλουτεῖν ἀδίκως διὰ τῆς ἰσηγορίας ἐπανορθούμενος καὶ πολιτικὴν ἔνδειαν τῇ παρὰ τοῦ γένους εὐδαιμονίᾳ συγκρύπτων. Καὶ τοιούτων φανεὶς τρέφεται μὲν 〈ἐν〉 πολιτείᾳ καὶ νόμοις, ἃ τῶν ἄλλων ἀμείνω πεφήνασι, καὶ πρὸς ὅπλα καὶ λόγους ἅμα ζῆν ἐγνωκὼς φιλοσοφεῖν ὁ αὐτὸς καὶ στρατηγεῖν ἐβουλεύσατο, οὔτε τοὺς λόγους ὅπλων ἀποστερῶν οὔτε τὰς μάχας ἐν μέρει τιθεὶς τῆς φρονήσεως. καὶ μίαν ποιεῖται μελέτην, ὧν μίαν οὐκ εἶχε τὴν τέχνην, εἰς ἓν συνάγων ἃ τῇ φύσει διέστηκεν. Ὡς δὲ εἰς ἄνδρας ἀφίκετο, ἐζήτει καιρὸν εἰς ἐπίδειξιν, ὧν καλῶς προησκήσατο. καὶ ταχὺ παρέσχεν ἡ τύχη τὸν πόλεμον, καὶ τὰ πεπραγμένα πᾶσι τοῖς Ἕλλησιν οἰκείαν αὐτὸς ἐποιήσατο τέχνην καὶ φυλακὴ γέγονεν ὧν ὁ πόλεμος ἤγαγεν· ἃ γὰρ ἐποίουν ὡς ἕκαστοι, ταῦτα συγκρύπτειν οὐκ ἀφῆκε τὸν χρόνον. ἐξ ὧν ἁλισκομένη μὲν ἔγνωσται Πλάταια, δῃούμενα δὲ τὰ τῆς Ἀττικῆς ἐγνωρίζετο καὶ περιπλεομένη παρὰ τῶν Ἀθηναίων ἐδηλοῦτο Πελοπόνησος· ναυμαχίας εἶδεν ἡ Ναύπακτος, λαθεῖν οὐκ ἀφῆκε ταῦτα Θουκυδίδης συγγράφων· Λέσβος ἑάλω καὶ μέχρι τοῦδε κηρύττεται· πρὸς τοὺς Ἀμβρακιώτας καθίστατο μάχη καὶ τὸ γεγονὸς οὐκ ἀφεῖλεν ὁ χρόνος· δίκη Λακεδαιμονίων οὐκ ἀγνοεῖται παράνομος, Σφακτηρία καὶ Πύλος τὸ μέγα τῶν Ἀθηναίων οὐκ ἔλαθεν ἔργον.

10.24 ὅθεν Κερκυραῖοι μὲν παρὰ τὰς Ἀθήνας ἐκκλησιάζουσι, Κορίνθιοι δὲ πρὸς αὐτοὺς ἀντιφθέγγονται, Αἰγινῆται κατηγοροῦντες εἰς Λακεδαίμονα ἔρχονται καὶ σωφρονῶν μὲν ἐπ' ἐκκλησίας Ἀρχίδαμος, Σθενελαΐδας δὲ ἐπὶ μάχην κινῶν, καὶ πρὸς τούτοις ὁ Περικλῆς πρεσβείαν ἀτιμάζων Λακωνικὴν καὶ χαλεπαίνειν οὐ συγχωρῶν Ἀθηναίους νοσοῦντας, ταῦτα καθάπαξ καὶ παρὰ τῆς Θουκυδίδου συγγραφῆς πρὸς ἅπαντα τηρεῖται τὸν βίον. Εἶτά τις αὐτῷ παραβαλεῖ τὸν Ἡρόδοτον; ἀλλ' ἐκεῖνος μὲν διηγεῖται πρὸς ἡδονήν, ὃ δὲ πρὸς ἀλήθειαν ἅπαντα φθέγγεται· ὅσῳ δὴ τὸ πρὸς χάριν τοῦ πρὸς ἀλήθειαν ἔλαττον, τοσοῦτον Ἡρόδοτος τῶν Θουκυδίδου καλῶν ἀπολείπεται. Πολλὰ ἦν ἕτερα περὶ Θουκυδίδου διεξελθεῖν, εἰ μὴ τὸ πάντα ἐρεῖν τὸ τῶν ἐπαίνων παρείλετο πλῆθος. Σοφίας ἐγκώμιον.

10.25.(1t) Σοφίαν εὐτυχὲς μὲν λαβεῖν, ἐπαινέσαι δὲ πρὸς ἀξίαν ἀδύνατον, ᾗ τοσοῦτον εὐδαιμονίας περίεστιν, ὡς κοινὸν κτῆμα καταστῆναι θεῶν. Ἄλλος μὲν γὰρ ἄλλο τι τῶν θεῶν ἐπετήδευσεν, Ἥρα τῶν γάμων ἐπιστατεῖ, πολέμων Ἄρης μετὰ τῆς Ἀθηνᾶς, πυρὶ πάλιν ἐχάλκευσεν Ἥφαιστος, Ποσειδῶν ἡγεῖται τοῖς πλέουσιν, ἄλλος ἄλλο τι τῶν θεῶν ἐπησκήσατο, σοφίας δὲ ἅπαντες μετέχουσιν, ἰδίως δὲ παρὰ πάντας ὁ Ζεύς· ὅσῳ γὰρ τῶν θεῶν ἐστι δυνατώτερος, τοσούτῳ πάντων κατέστη σοφώτερος, καὶ σοφίᾳ Διὶ τὴν δυναστείαν πιστοῦται. Καὶ θεοὶ μὲν αὐτὴν ἐκτήσαντο σύμφυτον, τὸ δὲ κτῆμα προῆλθεν εἰς γῆν, καὶ θεῶν παῖδες εἰς τὸν βίον ἠνέγκαντο. διὸ καὶ θαυμάσαι τοὺς ποιητάς μοι περίεστιν, οἳ Παλαμήδην καὶ Νέστορα καὶ εἴ τις ἄλλος ἐν τοῖς πρώτοις σοφώτατος ᾄδεται θεῶν παῖδας ἐποίησαν, οὐ καταστάντας τὴν φύσιν θεῶν· ἦ γὰρ ἂν καὶ αὐτοὶ θεοὶ καθειστήκεισαν καὶ τῇ κοινωνίᾳ τοῦ γένους τὸ κοινὸν ἐδήλουν τῆς ἀρετῆς· ἀλλ' οἳ τὴν θεῶν ἀρετὴν προσεκτήσαντο, θεῶν ἐνομίζοντο παῖδες καὶ δοκοῦσι θεῶν, ὧν σοφία κτῆμα τοῦ γένους προῆλθεν, ὑπόμνημα. Σοφία τοίνυν ἐφ' ἑκάτερα κρατεῖ τῶν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καιρῶν· τὰ μὲν γὰρ ἄλλα παρὰ τὴν εἰρήνην μόνον εὐδοκιμεῖ, τὰ δὲ παρὰ τὸν πόλεμον μόνον θαυμάζεται, μόνη δὲ σοφία τῶν ὄντων ἑκατέρων κρατεῖν ὡς ἑνὸς ἐξεπίσταται· πολιτεύεται μὲν γὰρ κατὰ πόλεμον ὡς εἰρήνην παντελῶς ἀγνοήσασα, τῆς δὲ εἰρήνης οὕτω κατέσχεν ὡς ἀγνοοῦσα καθάπαξ τὰς μάχας· καὶ παρ' ἣν ἂν κρατῇ, μόνης εἶναι νομίζεται· νομοθετεῖ μὲν γὰρ ἐν εἰρήνης καιρῷ καὶ παντοδαποῖς ἡσυχίας εἴδεσι κέχρηται, τοῖς δὲ πολέμοις εἰσηγεῖται τὰς νίκας· καὶ σοφία κρατεῖν ἐν τοῖς ὅπλοις παρέχουσα παρὰ τὰς ἐκκλησίας ἄλλον οὐκ ἐᾷ κατορθοῦν, ἀλλ' ἐπ' ἀμφότερα κρατεῖν οἶδεν ἐπίσης πολεμοῦντας καὶ λέγοντας.

10.26 Μόνη σοφία τὰ θεῶν ὑποκρίνεται· μόνη γὰρ ὡς θεὸς τὸ μέλλον ἐπίσταται. αὕτη γεωργοῖς ἀνῆκε τὴν γῆν καὶ τοῖς πλέουσι νέμει τὴν θάλασσαν· οὔτε καρποὺς ὑπῆρχε λαβεῖν σοφίας χωρὶς οὔτ' αὖ πάλιν ἐπιβαίνειν νεὼς χωρὶς τοῦ σοφῶς κυβερνήσοντος. ὥστε πᾶν εἴ τι θάλαττα φιλοτιμεῖται καὶ ὅσα γῆ τοῖς ἀνθρώποις παρέχει, ταῦτα σοφίας καθεστήκασιν εὕρεσις. αὕτη λαθεῖν οὐ κατέλιπεν, ἃ τῶν ἀπορρήτων οὐρανὸς ἔχει παρ' ἑαυτῷ· καὶ γὰρ ὅσον ἥλιος περιέρχεται κύκλον καὶ ἃ τῶν ἀστέρων περιέδραμεν ἕκαστος, σοφία μόνη τοῖς ἀνθρώποις ἐξεῦρεν. ἤδη καὶ τὰ κατὰ γῆς σοφὸς οὐκ ἠγνόησε, καὶ ὡς τελευτῶντες ἐσόμεθα, μόνη σοφία παρέσχε.

10.27 Τροίαν εἶλεν· ἣν ἑλεῖν ὁ πολὺς οὐ δεδύνηται χρόνος, σοφὸν παρεστήσατο βούλευμα. καὶ Περσῶν ὅλην διέλυσε δύναμιν, δι' ἑνὸς κυροῦσα βουλεύματος. ὁ Κύκλωπος ὀφθαλμὸς διεφθείρετο, βεβουλευκότος Ὀδυσσέως σοφώτερον. ὥστε πᾶν, εἴ τι κρατεῖ, σοφίας προῆλθεν. Εἶτά τις αὐτῇ τὴν ἀνδρείαν παραβαλεῖ; ἀλλ' ὃ ποιεῖν πέφυκε δύναμις, ἐκ σοφίας κομίζεται, κἂν τῆς ἀνδρείας ἀνέλῃς τὴν φρόνησιν, κατηγορούμενον ἔμεινεν. Πολλὰ ἦν ἄλλα περὶ τῆς σοφίας διεξελθεῖν, ἀλλ' εἰς ἅπαν ἐρεῖν τοῖς διεξιοῦσιν ἀμήχανον. 〈ΠΕΡΙ ΨΟΓΟΥ.〉 Ψόγος ἐστὶ λόγος ἐκθετικὸς τῶν προσόντων κακῶν. Τόπου δὲ κοινοῦ διενήνοχε τῷ τὸν μὲν τόπον ἐπάγεσθαι κόλασιν, τὸν δὲ ψόγον ψιλὴν μόνην ἔχειν διαβολήν. Διαιρεῖται δὲ τοῖς αὐτοῖς κεφαλαίοις, οἷσπερ καὶ τὸ ἐγκώμιον. καὶ τοσαῦτα δεῖ ψέγειν, ὅσα καὶ ἐγκωμιάζειν, πρόσωπά τε καὶ πράγματα, καιρούς τε καὶ τόπους, ἄλογα ζῷα καὶ πρὸς τούτοις φυτά.

10.28 Ψεκτέον δὲ καὶ κοινῇ καὶ καθ' ἕκαστον. Καὶ προοιμιαζόμενος ἐποίσεις τὸ γένος, ὃ διαιρήσεις ὁμοίως τῷ ἐγκωμίῳ, καὶ τὴν ἀνατροφὴν καὶ τὰς πράξεις καὶ τὴν σύγκρισιν καὶ τὸν ἐπίλογον οὕτω θήσεις ὡς καὶ ἐν τοῖς ἐγκωμίοις. Ψόγος Φιλίππου. Οὔτε τὴν ἀρετὴν ἐπαίνων χωρὶς οὔτε τὴν κακίαν ἔξω ψόγου προσήκει καταλιπεῖν, ὅτι καὶ δι' ἀμφοτέρων ἐγκαταλείπεται κέρδος, ἐπαινουμένων μὲν ἀγαθῶν, κακιζομένων δὲ πονηρῶν. Ἅπαντας μὲν οὖν ἀκοῦσαι κακῶς δίκαιον τοὺς διακειμένους κακῶς, τοσούτῳ δὲ μᾶλλον ἁπάντων τὸν Φίλιππον, ὅσῳ καὶ πάντας πονηροὺς ὑπερέβαλε. Προῆλθε μὲν γὰρ ἔθνους, ὃ τῶν βαρβάρων καθίσταται χείριστον, τόπον ἐκ τόπου δι' ἀνανδρίαν μεταβάλλειν ζητοῦντος. Ἀργεῖοι μὲν γὰρ τὸ πρῶτον ἐξέωσαν, εἶτα πλανώμενοι πρὸς ἣν ἔχουσι καταπεφεύγασι, ταῖν δυεῖν δυστυχίαιν εἰς τὴν οἴκησιν χρώμενοι, τοῖς μὲν κρείττοσιν εἴκοντες, τοὺς δὲ χείρους ἐκβάλλοντες, ἐξ ἀνανδρίας καὶ πλεονεξίας οἰκεῖν βεβαίως οὐ συγχωρούμενοι.

10.29 Καὶ γεγενημένος ἔθνους τοιούτου φαυλοτέρας προελήλυθε πόλεως. Μακεδόνες γὰρ τῶν βαρβάρων οἱ χείριστοι, Πέλλη δὲ τῆς Μακεδόνων γῆς τὸ φαυλότατον, ἐξ ἧς οὐδὲ δουλούμενοι χαίρουσιν ἄνθρωποι. Καὶ τοιαύτης γῆς γεγονὼς προγόνοις ἐχρήσατο χαλεπωτέροις τῆς γῆς. Φίλιππος γὰρ τούτῳ καθίστατο πρόγονος, κρατεῖν τῆς χώρας ἐκ τοῦ γένους οὐ συγχωρούμενος· εἶτα Ἀμύντας πατήρ, εἰς βασιλείαν ἑτέρων δεόμενος· Ἀθηναῖοι γὰρ ἐληλαμένον κατήγαγον. Καὶ τοιούτων ὀφθεὶς μένων παρὰ Θηβαίοις ὡμήρευε· καὶ διατρίβων ἐπὶ μέσης τῆς Ἑλλάδος οὐ μετετίθει τῇ συνουσίᾳ τὸν τρόπον, ἀλλ' ἀκρασίαν βαρβαρικὴν ἐν Ἑλληνικοῖς ἐπιτηδεύμασιν ἔφερε· καὶ διῃρημένων ἁπάντων Ἕλλησι καὶ βαρβάροις, ἐφ' ἑκατέρων ἦν ὁ αὐτός, πονηρίαν ἴσην ἐν οὐχ ὁμοίοις ἐργαζόμενος γένεσι. Καὶ πρῶτον κατεδουλοῦτο τὸ συγγενές, τὴν ἀπιστίαν

οἷς προῆλθεν ἐπιδεικνύμενος. ὅθεν ἐπιὼν τοὺς προσχώρους διέφθειρε, καὶ Παίονας λαβὼν Ἰλλυριοὺς προσετίθετο καὶ Τριβαλλῶν ᾕρει τὴν γῆν ἐπιών, τοσαῦτα λαμβάνων ὁπόσα τῶν γενῶν ἠτύχει προκείμενα. καὶ τὰ μὲν σώματα τῶν βαρβάρων ᾕρει μαχόμενος, τὰς δὲ γνώμας μετὰ τῶν σωμάτων οὐχ ᾕρει, ἀλλ' ὠνειροπόλουν ἀπόστασιν οἱ τοῖς ὅπλοις δουλεύοντες, καὶ τοῖς λογισμοῖς ὑπῆρχεν αὐτόνομα τὰ τοῖς ἔργοις δουλεύοντα.

10.30 Καὶ παραστησάμενος τοὺς τῶν βαρβάρων ὁμόρους, ὁδῷ προϊὼν ἐχώρει παρὰ τοὺς Ἕλληνας· καὶ πρῶτον μὲν τὰς ἐπὶ Θρᾴκης Ἑλλήνων κατεστρέφετο πόλεις, αἱρῶν μὲν Ἀμφίπολιν, τὴν δὲ Πύδναν χειρούμενος καὶ Ποτίδαιαν μετ' αὐτῶν ἐπαγόμενος, οὔτε τὰς Φερὰς ἔξω τῶν Παγασῶν οὔτε Μάγνησσαν ἔξω Φερῶν ποιησάμενος, ἀλλ' ὅλαι Θετταλῶν ἡλίσκοντο πόλεις καὶ ὥσπερ σύμβολον τοῦ γένους τὴν δουλείαν ἐφέροντο. Ἄξιον δὲ καὶ περὶ τῆς αὐτοῦ τελευτῆς διελθεῖν. ὡς γὰρ ἐπιὼν τὰ πολλὰ κατεστρέφετο καὶ παρασπονδῶν κατεδουλοῦτο τοὺς σπενδομένους αὐτῷ, ἀγανακτοῦντες ἐπὶ τοῖς παρασπονδηθεῖσιν οἱ θεοὶ πρέπουσαν αὐτῷ τελευτὴν ἐπηγάγοντο· οὐ γὰρ ἀνεῖλον μαχόμενον οὐδὲ μάρτυρα τῆς αὐτοῦ τελευτῆς ἀριστέα ἐποίησαν, ἀλλ' ἐπ' αὐταῖς ἡδοναῖς διαφθείρουσι, καλὸν ἐντάφιον τοῖς Φιλίππου κακοῖς πεποιημένοι τὰς ἡδονάς, ὡς ἂν κατ' ἄμφω τῆς ἀκρασίας φέροιτο μάρτυρας, καὶ βιοὺς καὶ κτεινόμενος. Εἶτά τις αὐτῷ παραθήσει τὸν Ἔχετον; ἀλλ' ὃ μὲν μικρὰ τῶν ἄκρων ἀποστερῶν τὸ λοιπὸν εἴα τοῦ σώματος, ὃ δὲ ὅλα μεθ' ὅλων διέφθειρε σώματα· ὅσῳ δὴ χαλεπώτερον ἅπαν ἢ μέρος διαφθειρόμενον, τοσούτῳ Φίλιππος Ἐχέτου δεινότερος.

10.31 Λήγειν ὁ Φίλιππος περιὼν οὐκ ἠπίστατο, λήγειν δὲ ἀνάγκη τὸν περὶ αὐτοῦ λόγον διεξερχόμενον. ΠΕΡΙ ΣΥΓΚΡΙΣΕΩΣ. Σύγκρισίς ἐστι λόγος ἀντεξεταστικὸς ἐκ παραθέσεως συνάγων τῷ παραβαλλομένῳ τὸ μεῖζον. Δεῖ δὲ συγκρίνοντας ἢ καλὰ παραθεῖναι χρηστοῖς ἢ φαῦλα φαύλοις ἢ χρηστὰ πονηροῖς ἢ μικρὰ παραθεῖναι τοῖς μείζοσι. καὶ ὅλως ἡ σύγκρισις διπλοῦν ἐγκώμιόν ἐστιν ἢ ψόγος ἐξ ἐγκωμίου καὶ ψόγου συγκείμενος. καὶ πᾶς μὲν τόπος συγκρίσεως δεινὸς καθάπαξ καθέστηκε, μάλιστα δὲ ὁ τὰ μικρὰ παραβάλλων τοῖς μείζοσι. Τοσαῦτα δὲ συγκρίνειν προσήκει, ὅσαπερ καὶ ψέγειν καὶ ἐγκωμιάζειν, πρόσωπά τε καὶ πράγματα, καιρούς τε καὶ τόπους, ἄλογα ζῷα καὶ πρὸς τούτοις φυτά. Οὐ δεῖ δὲ συγκρίνοντας ὅλον ὅλῳ παραβάλλειν, ὕπτιον γὰρ καὶ οὐκ ἀγωνιστικόν, ἀλλὰ κεφαλαίῳ κεφάλαιον· ἀγωνιστικὸν γὰρ τοῦτό γε· ἐπεὶ τὸ διαιρεῖν ἐγκωμίου τρόπος, οὐ συγκρίσεως.

10.32 Σύγκρισις δὲ ἐν αὐτῷ οὐκ ἔστιν, ἐπείπερ ὅλον ἐστὶ τὸ προγύμνασμα σύγκρισις. Σύγκρισις Ἀχιλλέως καὶ Ἕκτορος. Ἀρετὴν ἀρετῇ συγκρῖναι ζητῶν ἀντεξετάζω τὸν Πηλέως πρὸς Ἕκτορα· καθ' αὑτὰς μὲν γὰρ αἱ ἀρεταὶ τυγχάνουσι τίμιαι, παραβαλλόμεναι δὲ ζηλωτότεραι καθεστήκασι. Γεγόνασι τοίνυν ἄμφω γῆς οὐ μιᾶς, ἐπαινουμένης δὲ ὁμοίως ἑκάτερος. ὃ μὲν γὰρ Φθίας, ὅθεν ὁ τῆς Ἑλλάδος προῆλθεν ἐπώνυμος, ὃ δὲ Τροίας, ἧς οἰκισταὶ θεῶν οἱ πρῶτοι γεγόνασιν. ὅσῳ δὴ τὸ γεγενῆσθαι χώρας ὁμοίας οὐ χεῖρον εἰς ἔπαινον, τοσοῦτον Ἕκτωρ Ἀχιλλέως οὐκ ἀπολείπεται. Καὶ γεγονότες γῆς ἐπαινουμένης ἀμφότεροι, ἄμφω τὴν ἴσην ἔσχον συγγένειαν. ἑκάτερος γὰρ προῆλθε Διός· Πηλέως μὲν γὰρ Ἀχιλλεύς, Αἰακοῦ δὲ Πηλεὺς καὶ Διὸς Αἰακός· Ἕκτωρ τε ὁμοίως Πριάμου καὶ Λαομέδοντος, Λαομέδων δὲ προῆλθε Δαρδάνου, Δάρδανος δὲ Διὸς ἐγεγένητο παῖς. Καὶ προγόνου γεγονότες Διὸς πατράσι παραπλησίοις ἐχρήσαντο· Ἀχιλλεῖ μὲν γὰρ Αἰακὸς καὶ Πηλεύς, ὧν ὃ μὲν αὐχμῶν ἐξαιρεῖται τοὺς Ἕλληνας, ὃ δὲ Λαπίθας ἀνελὼν ἆθλον τῆς ἀρετῆς θεᾷ συνοικεῖν ἐκληρώσατο· Ἕκτορι δὲ πρόγονος ὑπῆρχε Δάρδανος θεοῖς τὸ πρῴην συνδιαιτώμενος, πατὴρ δὲ Πρίαμος κρατῶν πόλεως τετειχισμένης ὑπὸ θεῶν.

10.33 ὅσῳ δὴ παραπλήσιον τὸ θεοῖς συνοικεῖν καὶ συνδιαιτᾶσθαι τοῖς κρείττοσι, τοσοῦτον Ἕκτωρ Ἀχιλλεῖ παραπλήσιος. Καὶ γεγονότες ἐκ τοιῶνδε προγόνων ἄμφω πρὸς ἀνδρείαν ἐτράφησαν· ὃ μὲν γὰρ ὑπὸ Χείρωνι τρέφεται, τῷ δὲ Πρίαμος κατέστη τροφεύς, φύσει τῆς ἀρετῆς εἰσφέρων διδάγματα. τὸ δὲ τραφῆναι πρὸς ἀρετὴν ἴσον ὂν ἐπ' ἀμφοτέροιν ἴσην αὐτοῖς ἐπιφέρει τὴν

εὔκλειαν. Ἐπεὶ δὲ εἰς ἄνδρας ἄμφω προῆλθον, ἐφ’ ἑνὸς πολέμου τὴν ἰσχὺν ὁμοίαν ἐκέκτηντο. πρῶτον μὲν γὰρ Ἕκτωρ ἡγεῖτο τῶν Τρώων καὶ περιὼν Τροίας καθίστατο πρόβολος, ἔπειτα θεοῖς συμμαχούμενος ἔμενε καὶ κεῖσθαι πεσὼν παρέσχε τὴν Τροίαν· Ἀχιλλεὺς δὲ τῆς μὲν Ἑλλάδος ἐν τοῖς ὅπλοις ἡγεῖτο καὶ πάντας φοβῶν κατηγωνίζετο Τρῶας καὶ συναγωνιζομένην εἶχε τὴν Ἀθηνᾶν καὶ πεσὼν τοῦ κρατεῖν ἀφῃρεῖτο τοὺς Ἀχαιούς. Καὶ ὃ μὲν ἡττηθεὶς ἀνῃρεῖτο διὰ τῆς Ἀθηνᾶς, ὃ δὲ πρὸς Ἀπόλλωνος βαλλόμενος ἔπιπτε· καὶ γεγονότες ἄμφω παρὰ θεῶν ἐκ θεῶν ἀνῃρέθησαν· ὅθεν γὰρ τὸ γένος, καὶ τὸ τοῦ βίου τέλος εἰλήφασιν. ὅσῳ δὴ παραπλήσιος βίος καὶ θάνατος, τοσοῦτον Ἕκτωρ Ἀχιλλεῖ παραπλήσιος. Ἦν ἕτερα πλείω λέγειν περὶ τῆς ἀμφοῖν ἀρετῆς, εἰ μὴ τὴν δόξαν ἄμφω παραπλησίαν εἶχον τῶν ἔργων. ΠΕΡΙ ΗΘΟΠΟΙΙΑΣ.

10.34.(1t) Ἠθοποιία ἐστὶ μίμησις ἤθους ὑποκειμένου προσώπου. Διαφοραὶ δὲ αὐτῆς εἰσι τρεῖς, εἰδωλοποιία, προσωποποιία, ἠθοποιία. καὶ ἠθοποιία μὲν ἡ γνώριμον ἔχουσα πρόσωπον, πλαττομένη δὲ μόνον τὸ ἦθος· ὅθεν καὶ ἠθοποιία προσαγορεύεται· οἷον τίνας ἂν εἴποι λόγους Ἡρακλῆς Εὐρυσθέως ἐπιτάσσοντος· ἐνταῦθα ὁ μὲν Ἡρακλῆς ἔγνωσται, τὸ δὲ τοῦ λέγοντος ἦθος πλαττόμεθα. εἰδωλοποιία δὲ ἡ πρόσωπον μὲν ἔχουσα γνώριμον, τεθνεὸς δὲ καὶ τοῦ λέγειν παυσάμενον, ὡς ἐν Δήμοις Εὔπολις ἔπλασε καὶ Ἀριστείδης ἐν τῷ Ὑπὲρ τῶν τεσσάρων· ὅθεν καὶ εἰδωλοποιία προσαγορεύεται. προσωποποιία δέ, ὅταν ἅπαντα πλάττηται, καὶ ἦθος καὶ πρόσωπον, ὥσπερ ἐποίησε Μένανδρος Ἔλεγχον· ὁ γὰρ ἔλεγχος πρᾶγμα μέν, οὐ μὴν ἔτι καὶ πρόσωπον· ὅθεν καὶ προσωποποιία προσαγορεύεται· πλάττεται γὰρ μετὰ τοῦ ἤθους καὶ πρόσωπον. Ἡ μὲν οὖν διαίρεσις αὕτη· τῶν δὲ ἠθοποιιῶν αἳ μέν εἰσι παθητικαί, αἳ δὲ ἠθικαί, αἳ δὲ μικταί.

10.35 καὶ παθητικαὶ μὲν αἱ κατὰ πάντα πάθος σημαίνουσαι, οἷον τίας ἂν εἴποι λόγους Ἑκάβη κειμένης τῆς Τροίας. ἠθικαὶ δὲ αἱ μόνον ἦθος εἰσφέρουσαι, οἷον τίνας ἂν εἴποι λόγους ἠπειρώτης ἀνὴρ πρῶτον θεασάμενος θάλασσαν. μικταὶ δὲ αἱ τὸ συναμφότερον ἔχουσαι, καὶ ἦθος καὶ πάθος, οἷον τίνας ἂν εἴποι λόγους Ἀχιλλεὺς ἐπὶ Πατρόκλῳ κειμένῳ βουλευόμενος πολεμεῖν· ἦθος μὲν γὰρ ἡ βουλή, πάθος δὲ φίλος πεσών. Ἐργάσῃ δὲ τὴν ἠθοποιίαν χαρακτῆρι σαφεῖ, συντόμῳ, ἀνθηρῷ, ἀπολύτῳ, ἀπηλλαγμένῳ πάσης πλοκῆς τε καὶ σχήματος. καὶ διαιρήσεις ἀντὶ κεφαλαίων τοῖς τρισὶ χρόνοις, ἐνεστῶτι, παρῳχηκότι καὶ μέλλοντι. Ἠθοποιίας μελέτη· τίνας ἂν εἴποι λόγους Νιόβη κειμένων τῶν παίδων. Οἵαν ἀνθ’ οἵας ἀλλάσσομαι τύχην ἄπαις ἡ πρὶν εὔπαις δοκοῦσα; καὶ περιέστη τὸ πλῆθος εἰς ἔνδειαν καὶ μήτηρ ἑνὸς οὐχ ὑπάρχω παιδὸς ἡ πολλῶν τοῦτο δόξασα πρότερον. ὡς ἔδει τὴν ἀρχὴν μὴ τεκεῖν ἢ τίκτειν εἰς δάκρυα.

10.36 τῶν οὐ τεκόντων οἱ στερηθέντες εἰσὶν ἀτυχέστεροι· τὸ γὰρ εἰς πεῖραν ἧκον ἀνιαρὸν εἰς ἀφαίρεσιν. Ἀλλ’ οἴμοι, παραπλησίαν ἔχω τῷ τεκόντι τὴν τύχην. Ταντάλου προῆλθον, ὃς συνδιητᾶτο μὲν θεοῖς, θεῶν δὲ μετὰ τὴν συνουσίαν ἐξέπιπτε, καὶ καταστᾶσα Ταντάλου βεβαιῶ τὸ γένος τοῖς ἀτυχήμασι· συνήφθην Λητοῖ καὶ διὰ ταύτην κακοπραγῶ καὶ τὴν ὁμιλίαν εἰς ἀφαίρεσιν εἴληφα παίδων καὶ τελευτᾷ μοι πρὸς συμφορὰς συνουσία θεοῦ. πρὶν εἰς πεῖραν ἀφικέσθαι Λητοῦς ζηλωτοτέρα μήτηρ ὑπῆρχον, καταστᾶσα δὲ γνώριμος ἀπορῶ γονῆς, ἣν πρὸ τῆς πείρας εἶχον εἰς πλῆθος· καὶ νῦν ἑκατέρων παίδων κεῖταί μοι γόνος καὶ θρηνεῖν ἀπορώτερον, ὃ κατέστη σεμνότερον. Ποῖ τράπωμαι; τίνων ἀνθέξομαι; ποῖος ἀρκέσει μοι τάφος πρὸς ὅλων παίδων κειμένων ὄλεθρον; ἐπιλείπουσι πρὸς τὰς συμφορὰς αἱ τιμαί. Ἀλλὰ τί ταῦτα ὀδύρομαι, παρὸν αἰτῆσαι θεοὺς ἑτέραν ἀλλάξασθαι φύσιν; μίαν τῶν ἀτυχημάτων τεθέαμαι λύσιν, μεταστῆναι πρὸς τὰ μηδὲν αἰσθανόμενα· ἀλλὰ μᾶλλον δέδοικα, μὴ καὶ τοῦτο φανεῖσα μείνω δακρύουσα. 〈ΠΕΡΙ ΕΚΦΡΑΣΕΩΣ.〉 Ἔκφρασίς ἐστι λόγος περιηγηματικὸς ὑπ’ ὄψιν ἄγων ἐναργῶς τὸ δηλούμενον. Ἐκφραστέον δὲ πρόσωπά τε καὶ πράγματα, καιρούς τε καὶ τόπους, ἄλογα ζῷα καὶ πρὸς τούτοις φυτά· πρόσωπα μὲν ὥσπερ Ὅμηρος «γυρὸς ἐν ὤμοισι, μελανόχροος, οὐλοκάρηνος»· πράγματα δὲ ὡς ναυμαχίας καὶ πεζομαχίας, ὥσπερ ὁ συγγραφεύς·

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καιροὺς δὲ ὡς ἔαρ καὶ θέρος, φράζων ὁπόσα παρ’ αὐτὰ προέρχεται τῶν ἀνθέων· τόπους δὲ ὡς αὐτὸς ὁ Θουκυδίδης τὸν λιμένα τῶν Θεσπρωτῶν εἶπε Χειμέριον, καθάπερ ἔχει σχήματος.

10.37 Ἐκφράζοντας δὲ δεῖ πρόσωπα μὲν ἀπὸ τῶν πρώτων ἐπὶ τὰ τελευταῖα ἰέναι, τουτέστιν ἀπὸ κεφαλῆς ἐπὶ πόδας, πράγματα δὲ ἀπὸ τῶν πρὸ αὐτῶν τε καὶ ἐν αὐτοῖς καὶ ὅσα ἐκ τούτων ἐκβαίνειν φιλεῖ, καιροὺς δὲ καὶ τόπους ἐκ τῶν περιεχόντων καὶ ἐν αὐτοῖς ὑπαρχόντων. Τῶν δὲ ἐκφράσεων αἳ μέν εἰσιν ἁπλαῖ, αἳ δὲ συνεζευγμέναι· καὶ ἁπλαῖ μὲν ὡς αἱ πεζομαχίας ἢ ναυμαχίας διεξερχόμεναι, συνεζευγμέναι δὲ ὡς αἱ πράγματα καὶ καιροὺς ἅμα συνάπτουσαι, ὥσπερ ὁ Θουκυδίδης τὴν ἐν Σικελίᾳ νυκτομαχίαν ἐκφράζει· μετὰ γὰρ τῆς μάχης ὅπως ἐπράττετο καὶ νυκτὸς ὅπως εἶχεν ὡρίσατο. Ἐκφράζοντας δὲ δεῖ τόν τε χαρακτῆρα ἀνειμένον ἐκφέρειν καὶ διαφόροις ποικίλλειν τοῖς σχήμασι καὶ ὅλως ἀπομιμεῖσθαι τὰ ἐκφραζόμενα πράγματα.

10.38 Ἔκφρασις τοῦ ἱεροῦ τῆς Ἀλεξανδρείας μετὰ τῆς ἀκροπόλεως. Αἱ ἀκροπόλεις δὲ ἄρα ταῖς πόλεσιν εἰς κοινὴν μὲν ἑστᾶσιν ἀσφάλειαν—πόλεων γὰρ ἄκραι γεγόνασι—, τειχίζονται δὲ οὐ μᾶλλον αὐταὶ τοῖς οἰκήμασιν ἢ τὰς πόλεις τειχίζουσι. καὶ τὴν μὲν Ἀθηναίων ἀκρόπολιν μέσος Ἀθηνῶν παρείληφε χῶρος, ἄκραν δὲ ἣν Ἀλέξανδρος τῆς οἰκείας τίθεται πόλεως οἷς προσηγόρευσεν εἴργασται· πρὸς ἄκρον γὰρ ἔστησε πόλεως, καὶ γνησιώτερον αὐτὴν ἔστι προσειπεῖν τὴν ἀκρόπολιν ἢ ἐφ’ ᾗ φρονεῖν Ἀθηναῖοι παρέλαβον. ἔχει γὰρ ὧδέ πως, ὡς ὁ λόγος διέξεισιν. Ἄκρα τις ἐξανέχει τῆς γῆς, μέχρι μὲν πολλοῦ προϊοῦσα εἰς ὕψος, καλουμένη δὲ δι’ ἀμφοτέρων ἀκρόπολις, οἷς τε εἰς ἄκρον ἐπαίρεται καὶ οἷς ἐν ἄκρῳ τέτακται πόλεως. ὁδοὶ δὲ ἐπὶ ταύτην οὐκ ἴσαι· τῇ μὲν γὰρ ὁδός, τῇ δὲ γέγονεν εἴσοδος. καὶ τὰς προσηγορίας αἱ ὁδοὶ μεταβάλλουσιν, ὡς ἔχουσι τρόπου καλούμεναι· τῇ μὲν γὰρ ὑπάρχει ποδὶ προσελθεῖν καὶ κοινὴ καὶ πρὸς ἅμαξαν τοῖς εἰσιοῦσιν ὁδός, τῇ δὲ προσανεσπάσθησαν ἀναβαθμοί, ἔνθα διελθεῖν ἁμάξαις ἄβατον· κλῖμαξ γὰρ ἐπὶ κλίμακι δίδωσιν ἀεὶ τὸ μεῖζον ὡς ἐξ ἐλάττονος ἄγουσα καὶ ἀνάγει μετεωρότερον, πρὶν εἰς ἑκατὸν ἥκειν οὐ λήγουσα· πέρας γὰρ ἀριθμοῦ τελευτὴ πρὸς ἐντελὲς ἐκφέρουσα μέτρον.

10.39 Προπύλαιον δὲ διαδέχεται κλίμακας μετρίαις κιγκλίσι περικλειόμενον. Καὶ τέτταρες μὲν ἀνέχουσι μέγισται κίονες, ὁδοὺς παντοδαπὰς ἐπὶ μίαν εἴσοδον ἄγουσαι. ταῖς δὲ δὴ κίοσιν ἐπανέχει τις οἶκος μετρίας πολλὰς προβαλλόμενος κίονας, αἳ χροιὰν μὲν οὐχὶ μίαν παρέχουσι, προβαλλόμεναι δὲ τῇ κατασκευῇ παραπεπήγασι κόσμος. ὀροφὴ δὲ τῷ οἴκῳ προῆλθεν εἰς κύκλον, παρὰ δὲ τῷ κύκλῳ μέγα τῶν ὄντων ὑπόμνημα πέπηγεν. Εἰσιόντι δὲ παρ’ αὐτὴν τὴν ἀκρόπολιν τέτρασι πλευραῖς εἷς χῶρος ἴσαις διῄρηται, καὶ τὸ σχῆμα πλαίσιον τυγχάνει τοῦ μηχανήματος, αὐλὴ δὲ κατὰ μέσον περίστυλος. Καὶ τὴν μὲν αὐλὴν στοαὶ διαδέχονται, στοαὶ δὲ ἴσαις διαιρούμεναι κίοσι, καὶ μέτρον αὐταῖς, μεθ’ ὅ τι πλέον οὐχ ὑπάρχει λαβεῖν. ἑκάστη δὲ στοὰ τελευτᾷ πρὸς ἐγκαρσίαν ἑτέραν, καὶ κίων διπλῆ πρὸς ἑκατέραν διαιρεῖται στοάν, τῆς μὲν αὖ λήγουσα, τῆς δὲ αὖ πάλιν κατάρχουσα.

10.40 παρῳκοδόμηνται δὲ σηκοὶ τῶν στοῶν ἔνδοθεν, οἳ μὲν ταμεῖα γεγενημένοι ταῖς βίβλοις, τοῖς φιλοπονοῦσιν ἀνεῳγμένοι φιλοσοφεῖν καὶ πόλιν ἅπασαν εἰς ἐξουσίαν τῆς σοφίας ἐπαίροντες, οἳ δὲ τοὺς πάλαι τιμᾶν ἱδρυμένοι θεούς. ὀροφὴ δὲ στοαῖς, ἣν χρυσὸς κατεσκεύασε, καὶ κορυφαὶ κίοσι χαλκῷ μὲν δεδημιουργημέναι, χρυσῷ δὲ συγκρυπτόμεναι. Τῆς μὲν οὖν αὐλῆς οὐχ εἷς ἅπας ὁ κόσμος· ἄλλο μὲν γὰρ ἄλλως ἦν, τὸ δὲ τὰ Περσέως εἶχεν ἀθλήματα. Καὶ μέσον ἀνέχει τις κίων μῆκος μὲν ὑπερέχουσα, κατάδηλον δὲ ποιοῦσα τὸν χῶρον—οὔπω τις προβὰς ὅποι πρόεισιν ἔγνωκε, μὴ σημείῳ τῇ κίονι τῶν ὁδῶν χρώμενος—καὶ περιφανῆ ποιεῖ τὴν ἀκρόπολιν πρὸς γῆν τε καὶ θάλατταν· ἀρχαὶ δὲ τῶν ὄντων τῇ τῆς κίονος κορυφῇ περιεστήκασι. Καὶ πρὶν εἰς μέσην διελθεῖν τὴν αὐλήν, ἵδρυται κατασκεύασμα διῃρημένον πρὸς πύλας, ὅσαι τοῖς πάλαι θεοῖς ὀνομάζονται—δύο δὲ ὀβελοὶ ἀνεστήκασι λίθινοι καὶ κρήνη τῆς τῶν Πεισιστρατιδῶν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἄμεινον ἔχουσα—, καὶ τὸ θαῦμα γέγονεν ἄπιστον τῶν κατασκευασάντων ἔχον τὸν ἀριθμόν· ὥσπερ γὰρ ἑνὸς οὐκ ἀρκοῦντος εἰς ποίησιν, δημιουργοὶ τῆς ὅλης ἀκροπόλεως ὤφθησαν ἐπὶ δέκα δύο προκείμενοι.

10.41 Κατιόντι δὲ τῆς ἀκροπόλεως τῇ μὲν ὁμαλὸς διαδέχεται χῶρος σταδίῳ προσεοικώς, ὃ καὶ τῷ χώρῳ γεγένηται κλῆσις, τῇ δὲ ἕτερος μὲν διῃρημένος πρὸς ὅμοια, οὐ πρὸς ἴσον δὲ φερόμενος μέτρον. Τὸ μὲν δὴ κάλλος κρεῖττον ἢ λέγειν· εἰ δέ τι παρεῖται, ἐν παρενθήκῃ γεγένηται θαύματος· οἷς γὰρ οὐκ ἦν εἰπεῖν, παραλέλειπται. ΠΕΡΙ ΘΕΣΕΩΣ. Θέσις ἐστὶν ἐπίσκεψις λογικὴ θεωρουμένου τινὸς πράγματος. Τῶν δὲ θέσεων αἳ μέν εἰσι πολιτικαί, αἳ δὲ θεωρητικαί· καὶ πολιτικαὶ μὲν αἱ πρᾶξιν ἔχουσαι πόλιν συνέχουσαν, οἷον εἰ γαμητέον, εἰ πλευστέον, εἰ τειχιστέον· ταῦτα γὰρ πάντα πόλιν συνέχει γινόμενα· θεωρητικαὶ δὲ αἱ μόνῳ τῷ νῷ θεωρούμεναι, οἷον εἰ σφαιροειδὴς ὁ οὐρανός, εἰ κόσμοι πολλοί· ταῦτα γὰρ εἰς πεῖραν μὲν ἀνθρώποις οὐκ ἔρχεται, μόνῳ δὲ θεωρεῖται τῷ νῷ. Διενήνοχε δὲ θέσις ὑποθέσεως τῷ τὴν μὲν ὑπόθεσιν ἔχειν περίστασιν, τὴν δὲ θέσιν ἀπερίστατον εἶναι— περίστασις δέ ἐστι πρόσωπον, πρᾶγμα, αἰτία καὶ τὰ λοιπά—, οἷον τὸ μὲν ‘εἰ τειχιστέον‘ θέσις, ἐπίσκεψις οὐκ ἔχουσα πρόσωπον, τὸ δὲ ‘ἐπιόντων Περσῶν Λακεδαιμόνιοι βουλεύονται τειχίσαι τὴν Σπάρτην‘ ὑπόθεσις· πρόσωπον γὰρ ἔχει Λακεδαιμονίους σκοποῦντας, πρᾶγμα δὲ τὸ τειχίσαι τὴν Σπάρτην, αἰτίαν δὲ ἐπιόντας τοὺς Πέρσας.

10.42 Πρῶτον δὲ ἡ θέσις ἐν προγυμνάσμασιν ἀντίθεσιν καὶ λύσιν κατὰ ζήτημα δέχεται. Διαιρεῖται τοίνυν ἡ θέσις πρῶτον μὲν τῇ καλουμένῃ ἐφόδῳ, ἣν ἀντὶ προοιμίων ἐρεῖς· εἶτα χρήσῃ τοῖς τελικοῖς κεφαλαίοις, νομίμῳ, δικαίῳ, συμφέροντι, δυνατῷ. Θέσις· εἰ γαμητέον. Ὁ τὸ πᾶν ἐν βραχεῖ τιμῆσαι ζητῶν ἐπαινείτω τὸν γάμον· προῆλθε μὲν γὰρ οὐρανοῦ, μᾶλλον δὲ οὐρανὸν πληροῖ τῶν θεῶν καὶ κατέστη πατὴρ τῶν ὅθεν τὸ πατρὸς ὄνομα δέδοται. καὶ θεοὺς ἐνεγκὼν φυλάττειν αὐτοὺς ἀφῆκε τὴν φύσιν. Εἶτα εἰς γῆν παρελθὼν ἅπασι τοῖς λοιποῖς ἐπιφέρει τὴν γένεσιν καὶ παρενεγκών, ἃ μένειν οὐκ οἶδε, τὸ μένειν αὐτὰ ταῖς διαδοχαῖς ἐσοφίσατο. Καὶ πρῶτον μὲν ἀνθρώπους εἰς ἀνδρείαν ἐπαίρει· δι’ ὧν γὰρ παῖδας καὶ γυναῖκας ἄγειν οἶδεν ὁ γάμος, ὑπὲρ ὧν πράττεται πόλεμος, ἐρρῶσθαι δίδωσι ταῖς αὐτοῦ δωρεαῖς. εἶτα δικαίους σὺν ἀνδρείοις ποιεῖ· δι’ ὧν γὰρ φιλοτιμεῖται τὰ γένη, περὶ ὧν ἄνθρωποι δίκαια πράττουσι δείσαντες, ὁ γάμος δικαίους ἅμα καὶ ἀνδρείους ἀποτελεῖ· καὶ μὴν καὶ σοφούς, οἷς προνοεῖσθαι τῶν φιλτάτων ἐπαίρει.

10.43 καὶ τὸ παράδοξον, σωφροσύνην οἶδε κομίζειν ὁ γάμος κἀν τῇ φιλοτιμίᾳ τῶν ἡδονῶν τὸ σωφρονεῖν ἀναμέμικται· δι’ ὧν γὰρ νόμον ταῖς ἡδοναῖς ἐπιτίθησι, νόμῳ παρέχει σωφροσύνῃ τὰς ἡδονάς, καὶ τὸ κατηγορηθὲν αὐτὸ καθ’ αὑτὸ σὺν τῷ γάμῳ θαυμάζεται. Εἰ τοίνυν ὁ γάμος ἄγει μὲν τοὺς θεοὺς καὶ μετ’ αὐτοὺς τῶν γενῶν τὰ καθ’ ἕκαστον, ἀνδρείους δὲ ἅμα καὶ δικαίους ἀποτελεῖ καὶ σοφοὺς παρασκευάζει καὶ σώφρονας, πῶς οὐκ εἰς ὅσον οἷόν τε τιμητέον τὸν γάμον; ‘Ναί‘, φησίν· ‘ἀλλ’ ὁ γάμος συμφορῶν αἴτιος.‘ Τύχης μοι δοκεῖς, οὐ τοῦ γάμου κατηγορεῖν. ἃ μὲν γὰρ κακοπραγοῦντες ἄνθρωποι πάσχουσι, τύχη παρέσχεν, οὐ γάμος· ἃ δὲ φιλοτιμεῖται τοῖς ἀνθρώποις ὁ γάμος, οὐκέτι ταῦτα κέρδος ἐκ τύχης. ὥστε θαυμάσαι μᾶλλον ἔστι τὸν γάμον ὧν ἔχει καλῶν ἢ κατηγορῆσαι δεινῶν, ὧν παρέσχεν ἡ τύχη. Εἰ δὲ δὴ καὶ τὰ μάλιστα γάμῳ δοίημεν τὰ τῶν ἀνθρώπων φαυλότατα, τί μᾶλλόν ἐστιν ἀποστατέον τοῦ γάμου; οὐχ, ὅσα ἂν τοῖς πράγμασι προσῇ δυσχερῆ, ταῦτα καὶ φυγὴν τῶν πραγμάτων ἐργάζεται. καί μοι τὰς καθ’ ἕκαστον ἐξέταζε τέχνας, αἷς πρόσεστιν, ὅ τι δήπου καταιτιᾷ. τοὺς γεωργοῦντας ἐνοχλοῦσι σκηπτοὶ καὶ τῆς χαλάζης ἐμβολαὶ διαφθείρουσιν· οὐ μὴν οἷς γεωργοῖς τὴν γῆν διαφθείρει σκηπτός, τὴν γῆν ἀποφεύγουσιν, ἀλλὰ γεωργοῦντες ἐμμένουσι, κἂν ἐξ οὐρανοῦ τι λυπῇ προσιόν.

10.44

αὖθις ἀτυχοῦσιν ἄνθρωποι πλέοντες καὶ τὰς ναῦς διαφθείρουσιν ἐπιόντες χειμῶνες· οὐ μὴν ἐνθένδε τὸ πλεῖν καταλύουσιν, οἷς ἐν μέρει πεπόνθασιν, ἀλλ' ἀνάγουσι μὲν εἰς τὴν τύχην τὸ δυσχερές, ἀναμένουσι δὲ τὸν ἀπὸ θαλάσσης γινόμενον πόρον. καὶ μὴν αἵ τε μάχαι καὶ πόλεμοι τὰ τῶν ἀγωνιστῶν διαφθείρουσι σώματα καὶ οὐχ, ὅτι πεσοῦνται μαχόμενοι, τὰς μάχας ἐκλείπουσιν, ἀλλ' ὅτι πολεμοῦντες θαυμάζονται, καὶ πεσεῖν ἠγαπήκασι καὶ τὸ προσὸν ἀτυχὲς ἐκ τοῦ συνόντος ἀγαθοῦ συναπέκρυψαν. οὐ γὰρ διὰ τὰ φαῦλα φευκτέον ὅσα τῶν ἀγαθῶν, ἀλλ' ἕνεκα τῶν καλῶν ὑποιστέον τὰ χείριστα. Οὐκοῦν ἄλογον γεωργοὺς μὲν καὶ πλέοντας καὶ πρὸς τούτοις ὅσοι στρατεύονται φέρειν τὰ πρὸς αὐτοὺς δυσχερῆ τῶν ἐπαινουμένων χάριν τῶν σὺν αὐτοῖς, ἡμῖν δὲ γάμον ἀτιμαστέον, διότι γάμος ἄγει τι λυποῦν. ‘Ναί‘, φησίν· ‘ἀλλὰ χηρείαν μὲν γυναιξίν, ὀρφανίαν δὲ παισὶν ἐπεισήνεγκε.‘ Ταῦτα θανάτου δεινὰ καὶ τὸ πάθος οἶδεν ἡ φύσις· σὺ δέ μοι δοκεῖς αἰτιᾶσθαι τὸν γάμον, ὅτι μὴ καὶ θεοὺς τοὺς ἀνθρώπους ἐργάζεται, καὶ τοῦ γάμου κατηγορεῖν, ὅτι μὴ θεοῖς τὰ θνητὰ συνηρίθμησε. τί γάρ, εἰπέ μοι, γάμου κατηγορεῖς, ἃ πραγματεύεται θάνατος; τί δὲ ὑμεναίων ἐρεῖς, ὅσα φύσις ἐπίσταται; συγχώρει πεσεῖν τὸν ὅπως πεσεῖται γενόμενον.

10.45 εἰ δὲ πίπτουσι μὲν ὅτι γεγόνασιν ἄνθρωποι, πεσὼν δὲ χηρεύει μὲν σύνοικον, ὀρφανὸν δὲ παρασκευάζει τὸν ἐξ αὐτοῦ, τί γάμον ἐρεῖς ἀπεργάζεσθαι τὰ παρὰ μόνης γεγονότα τῆς φύσεως; Ἐγὼ δὲ αὖ τοὐναντίον γάμον ἐπανορθοῦσθαι καὶ ὀρφανίαν καὶ χηρείαν ἡγοῦμαι. τέθνηκέ τῳ πατὴρ καὶ ταύτῃ παῖς ὀρφανός· ἀλλ' ἕτερον ἐπεισήνεγκε πατέρα τοῖς ὀρφανοῖς ὁ γάμος καὶ τὸ πάθος γάμου μὲν οὐ προέρχεται, γάμῳ δὲ συγκαλύπτεται, καὶ γίνεται γάμος ὀρφανίας ἀφανισμός, οὐχ ὑπόθεσις. εἶτα χηρείαν ἐκ τελευτῆς μὲν ἦγεν ἡ φύσις, ἐξ ὑμεναίων δὲ μετέθηκε γάμος· ἣν γὰρ χηρεύειν εἰργάσατο θάνατος, ἀνδρὶ συνοικεῖν παρέσχεν ὁ γάμος, ὥσπερ καταστὰς φύλαξ τῆς αὐτοῦ χάριτος· ἃ γὰρ ἐξ ἀρχῆς εἰσηνέγκατο, παρῃρημένα πάλιν ἐπέδωκεν· ὥστε χηρείαν ἀναιρεῖν, οὐκ ἐπάγειν οἶδεν ὁ γάμος. καὶ μὴν καὶ πατὴρ θανάτῳ μὲν ἀφαιρεῖται παῖδας, γάμῳ δὲ μετέσχεν ἑτέρων, καὶ πατὴρ γίνεται δεύτερον ὁ προσάπαξ εἶναι μὴ συγχωρούμενος. Τί οὖν; τὰ τοῦ γάμου καλὰ πρὸς αἰτίαν μεταφέρεις τοῦ γάμου, καί μοι δοκεῖς οὐκ ἐλέγξαι ζητεῖν ἀλλ' ἐπαινεῖν τὸν ὑμέναιον· οἷς γὰρ ἐξαριθμεῖν καταναγκάζεις τῶν ὑμεναίων τὰς χάριτας, τούτοις ἐπαινέτης, οὐ κατήγορος τοῦ γάμου γεγένησαι· πρὸς ταῦτα καὶ κατηγορῶν τοῦ γάμου θαυμάζειν ἡμᾶς ἀναγκάζεις καὶ ποιεῖς εὐεργετημάτων κατάλογον τὰ τοῦ γάμου κατηγορήματα.

10.46 ‘Ναί‘, φησίν· ‘ἀλλὰ ὁ γάμος ἐπίπονον‘. Καὶ τί πόνον ἐπίσταται λύειν ἢ γάμος; ὁπόσα πονεῖ, δι' ὑμεναίων ἀνῄρηται καὶ ῥᾳστώνῃ παντάπασιν εἰς ὁμιλίαν γυναικὶ συνελθεῖν· ἡλίκον εἰς εὐνὴν ἀνὴρ γυναικὶ συνιών; μεθ' ὅσης δὲ ῥᾳστώνης ἐλπίζεται παῖς καὶ προσδοκώμενος φαίνεται καὶ πατέρα φανεὶς προσερεῖ καὶ πρὸς μελέτην ἔρχεται τέχνης, καὶ πατρὶ συνεργῶν καὶ παρὰ τὰς ἐκκλησίας δημηγορῶν καὶ πατέρα γηροτροφῶν καὶ ὅλως ἅπαν ὅ τι δέοι γινόμενος; οὐκ ἔστι λόγῳ διεξελθεῖν, ἃ φέρειν οἶδεν ὁ γάμος. Μέγα ὁ γάμος, καὶ παράγων θεοὺς καὶ παρέχων θνητοῖς θεοὺς εἶναι δοκεῖν, οἷς μένειν σοφίζεται· καὶ παιδεύει μὲν τοὺς χρωμένους τὰ δίκαια, πρὸς δὲ τὸ σῶφρον παροξύνει σκοπεῖν καὶ φιλοτιμεῖται τὰς ἡδονάς, ὅσαι μὴ φανεῖσαι κακίζονται. διὸ τὸν γάμον περὶ πλείστου ἐν πᾶσι ποιητέον καθέστηκεν. 〈ΠΕΡΙ ΕΙΣΦΟΡΑΣ ΤΟΥ ΝΟΜΟΥ.〉 Καὶ τὴν εἰσφορὰν τοῦ νόμου τινὲς εἶναι δεδώκασι γύμνασμα. ἔστι μὲν γὰρ σχεδὸν ὅλη ὑπόθεσις, οὐ μὴν ἅπαντα σῴζει τὰ τῆς ὑποθέσεως· εἰσάγεται μὲν γὰρ ἐν αὐτῇ πρόσωπον, οὐ μὴν ἐφ' ἅπασι γνώριμον· ὅθεν θέσεως μέν ἐστι μᾶλλον, ἧττον δὲ ὑποθέσεως.

10.47 οἷς μὲν γὰρ ὅλως σχήματος δέχεται πρόσωπον, ὑπερβαίνει τὴν θέσιν, δι' ὧν δὲ σαφῆ μὴ σῴζει τὴν περίστασιν, ὑποθέσεως λείπεται. Νόμου τοίνυν ἐστὶν εἰσφορὰ διπλῆ γυμνασία, συνηγορία καὶ κατηγορία νόμου τεθέντος. ἔστε δὲ νόμος «εὕρημα μὲν καὶ δῶρον θεῶν, κοινὴ δὲ συνθήκη πόλεως, ἐπανόρθωσις δὲ πλημμελημάτων τῶν εἰς ἀμφότερα». Καὶ ἡ μὲν διαίρεσις αὕτη τῆς

εἰσφορᾶς τοῦ νόμου· ἐργάσῃ δὲ αὐτὴν κεφαλαίοις, οἷς καὶ τὴν πραγματικήν, νομίμῳ, δικαίῳ, συμφέροντι, δυνατῷ. προοίμια δὲ θήσεις καὶ μετὰ τὰ προοίμια τὸ κεκλημένον ἐναντίον, εἶτα χρήσῃ τοῖς προειρημένοις κεφαλαίοις· ὅθεν καὶ ταύτῃ διήνεγκε θέσεως. Κατηγορία νόμου τοῦ κελεύοντος ἐπ' αὐτοφώρῳ τὸν μοιχὸν κτείνεσθαι. Οὔτε εἰς ἅπαν ἐπαινέσω τὸν νόμον οὔτε ἐπὶ παντὶ τὸ γραφὲν αἰτιάσομαι· οἷς μὲν γὰρ ἀναιρεῖ τὰ μοιχῶν, ἐπαινῶ τὸ τιθέμενον, δι' ὧν δὲ δικαστῶν οὐκ ἀνέμεινε ψῆφον, αἰτιῶμαι τὴν αἵρεσιν. εἰ μὲν οὖν δωροδοκίαν τῶν δικαζόντων κατεγνωκὼς ἀνῄρει τὰ δικαστήρια, φαύλην ἐλέγχεται περὶ τοὺς δικαστὰς κεκτημένος τὴν γνώμην· εἰ δὲ δίκαια κρίνειν, ὥσπερ καὶ δίκαια κρίνετε, ποῦ δίκαιον ἐπαινεῖν μὲν δικαστάς, ἐξαιρεῖσθαι δὲ τῶν δικαζόντων τὸν νόμον; οἱ μὲν οὖν ἄλλοι πάντες, ὅσοι τοῖς κειμένοις διαμάχονται νόμοις, οἳ μὲν ἐναντιοῦνται ταῖσδε ταῖς πόλεσιν, οἳ δὲ ὁμολογοῦσιν ἑτέραις, μόνος δὲ ὁ παρὼν πᾶσιν ἐναντίος προελήλυθε νόμοις.

10.48 Δοκεῖτε δέ μοι πολὺ κάλλιον ἐξετάσαι τὸν νόμον, εἰ πάντα τὰ παρ' ὑμῖν πολιτευόμενα κρίνητε, τοὺς στρατηγούς, τὰς ἱερωσύνας, τὰ ψηφίσματα· πάντα ὀλίγου δέω λέγειν, ὅσα 〈παρὰ τὴν εἰρήνην ἢ〉 παρὰ τὸν πόλεμον ἄριστα πράττεται, ἅπαντα δικαστῶν οἶδεν ἐξέτασιν, καὶ στρατηγεῖ μὲν ὃν ὁ κρίνων ἐξήτασεν, ἱερᾶται δὲ ὃν ὁ δικαστὴς ἐβεβαίωσε, καὶ ψήφισμα κύριον τὸ παρ' ἑτέροις ἀνακρινόμενον, καὶ νῖκαι πολέμων γερῶν οὐ μετέχουσι μὴ κρινόμεναι πρότερον. πῶς οὖν οὐκ ἄλογον ἅπαντα μὲν ἀναμένειν τοὺς ἐξετάζοντας, μόνον δὲ τὸν παρόντα νόμον τὴν τῶν δικαζόντων ἀναδύεσθαι ψῆφον; 'Ναί', φησίν· 'ἀλλὰ μεγάλα τὰ μοιχῶν ἀδικήματα.' Τί δαί; τὰ τῶν ἀνδροφόνων οὐ μείζω; τοὺς δὲ προδότας ἐλάττους νομιοῦμεν ἑτέρων; ἱερόσυλοι δὲ τῶν προδιδόντων φαυλότεροι; ἀλλ' ὅμως ὁ τούτων ἁλοὺς ἀναμένει τοὺς κρίνοντας, καὶ οὔτε προδότης ὑπέσχε τὴν δίκην μὴ τοῦ δικαστοῦ ψῆφον ἐπάγοντος, οὔτε ἀνδροφόνῳ πεσεῖν ὑπῆρχε μὴ τοῦ κατηγόρου τὸ πάθος ἐλέγχοντος, οὔτε τοῖς ὑφαιρουμένοις τὰ τῶν κρειττόνων παθεῖν, πρὶν ταῦτα μαθεῖν παρέστη τοῖς κρίνουσιν.

10.49 οὐκοῦν ἄτοπον τὰ μὲν μείζω δίκην ὑπέχειν παρὰ τοῖς κρίνουσι καὶ μὴ δοκεῖν τι τούτων ὡς ἕκαστον, ἂν μὴ δικαστὴς ἐπενέγκῃ τὴν ψῆφον, μοιχὸν δὲ μόνον πεσεῖν ἀνεξέταστον, ὃν πρὸ τῶν ἄλλων ἔδει κρίνειν ὅσῳ τῶν ἄλλων καταδεέστερον. 'Καὶ τί διοίσει μοιχὸν ἀνελεῖν ἢ παραδοῦναι τοῖς δικασταῖς, εἰ τὸν ἴσον ἐξ ἀμφοῖν ὑποστήσεται θάνατον;' Ὅσον τυράννου καὶ νόμου τὸ μέσον καὶ δημοκρατίας πρὸς τὰς μοναρχίας ὅσον διάφορον. τυράννου μὲν γὰρ ἀνελεῖν, ὃν ἂν βούλοιτο, νόμου δὲ κτεῖναι δικαίως τὸν ἐλεγχόμενον. καὶ δῆμος μέν, ὅσα ἂν ἐκκλησιάζων σκοπῇ, πρὸς ἐξέτασιν τίθησι, μοναρχία δὲ κολάζει μέν, οὐ συνεξετάζει δέ, ἃ συναμφότερα δῆμος καὶ νόμος ἐξ ἐναντιωμάτων ἅπαντα πέπραχε πρὸς τὸν μόνον ἄρχειν καὶ τυραννεῖν προελόμενον.

10.50 πῶς οὖν οὐ διοίσει τὸν μοιχὸν ἀνελεῖν ἢ παραδοῦναι τοῖς κρίνουσι; Καὶ ἔτι πρὸς τούτοις ὁ μὲν ἑαυτῷ τὸν μοιχὸν ἀνελὼν ἑαυτὸν κύριον τοῦ δεδρακότος ἐργάζεται, ὁ δὲ δικαστῇ παραδοὺς κύριον ποιεῖ τοῦ δεδρακότος τὸ δικαστήριον· κρεῖττον δὲ δήπου τὸν δικάζοντα κύριον ἢ τὸν κατήγορον γίνεσθαι. καὶ μὴν ὁ μὲν ἑαυτῷ διαφθείρας μοιχὸν ἄλλου χάριν ἀνελεῖν ὑποπτεύεται, ὁ δὲ κρῖναι παρεσχηκὼς μόνων ἔδοξε τῶν δικαίων ἀντιλαμβάνεσθαι. 'Ναί', φησίν· 'ἀλλὰ χαλεπωτέραν ὑφέξει τιμωρίαν παραχρῆμα πεσών· κέρδος γὰρ ἕξει τὸν μέχρι κρίσεως χρόνον.' Τοὐναντίον ἕξει κρινόμενος· ἀνιαρότερον γὰρ τὸν μετὰ ταῦτα βίον ὑποίσει· τὸ γὰρ παθεῖν προσδοκᾶν τοῦ πεπονθέναι δεινότερον καὶ τιμωρίας ἀναβολὴ προσθήκη φανεῖται ζημίας. πεσεῖται πολλάκις ὁ πεσεῖσθαι δοκῶν καὶ τὴν ἐλπίδα τῆς πείρας ἕξει δεινοτέραν· ὥστε παραχρῆμα πεσὼν ὁ μοιχὸς οὐκ αἰσθάνεται. κλέπτει τὴν αἴσθησιν τῆς τιμωρίας τὸ τάχος· ἀνάλγητος θάνατος ὁ πρὶν δόξαι συμβάς, ὁ δὲ πολλάκις μὲν ἐλπισθείς, εἰσάπαξ δὲ γεγονὼς ταῖς ἐλπίσι τὰς τιμωρίας μετρεῖ. Σκόπει δέ, καίτοι παρ' ἄλληλα θείς. ὁ μὲν ἑαυτῷ διαφθείρας μοιχὸν οὐδένα μάρτυρα τῆς τιμωρίας ποιεῖται, ὁ δὲ δικασταῖς παραδοὺς πολλοὺς θεατὰς ποιεῖται τῆς

δίκης· λυπηρότερος δὲ τιμωρίας τρόπος ὑπὸ θεαταῖς πολλοῖς καθιστάμενος. Καὶ ἄλλως συνοίσει μοιχοῖς κρύβδην πεσοῦσιν· ὑποψίαν γὰρ τοῖς πολλοῖς καταλείψουσιν ἔχθρας ἕνεκα πίπτοντες, ἐξελεγχομένου δὲ τοῦ πάθους ἐν τοῖς δικασταῖς ἀναμφισβήτητον ὁ πεσὼν ὑφέξει τὴν δίκην.

10.51 ὥστε πρὸς αὐτοῦ τοῦ μοιχοῦ πεσεῖν ἀδήλως ἢ δικασταῖς παραδίδοσθαι. Δεινὸν ὁ μοιχὸς καὶ πᾶσαν παρῆλθεν ἀδικημάτων ὑπερβολήν· ὅθεν ἐξελεγχέσθω πρότερον, εἶτα πιπτέτω, καὶ κρινέσθω μᾶλλον ἢ δίκην ὑπεχέτω πρὸ κρίσεως. ὡς μοιχὸς ἀναιρούμενος σαφεστέραν δώσει τὴν τῶν παίδων γονήν· οὐ γὰρ ἀμφισβητήσει τις, ὅτου γέγονε παῖς, ἐκλελοιπότων μοιχῶν τὸ λοιπόν. κοινῆς ἀδίκημα φύσεως, ὅθεν καὶ κοινὴ ψῆφος ἀναιρείτω γενόμενον· ὡς ἐγὼ δέδια, μὴ λαθὼν μοιχός, οἷς διαφθείρεται, πολλοὺς ἑτέρους καταλίπῃ τοιούτους· οἷς γὰρ οὐκ ἴσασιν, ἐφ’ οἷς διαφθείρεται, ζηλώσουσιν ἕτεροι, καὶ τὸ κεκολάσθαι οὐ πέρας ἀλλ’ ἀρχὴ γενήσεται πάθους.

Eulogikon public reading copy · View original HTML at eulogikon.org